καὶ ποταμοὺς ἀναστομοῖ τοῖς ὄνυξιν αἱμάτων
ξαίνουσα ταύτης παρειὰς ἐκτίλλουσα τὰς τρίχας.

* * *

Ε 173

Ἦχος πλ. δ'

12. Ἡ σὲ τεκοῦσα, Δέσποτα, μήτηρ ἁγνὴ παρθένος
παιζόμενον, γυμνούμενον, σταυρούμενον ὁρῶσα
ὠλόλυζεν, ἐστέναζεν, ἐκόπτετο θρηνοῦσα
τὰ δάκρυα τοῖς αἵμασιν ἐμίγνυε τῷ πόθῳ
τῆς ἀνοχῆς ἐθαύμαζε τὴν σὴν μακροθυμίαν.
πῶς οὐ κατέπιεν ἡ γῆ τοὺς σταυρωτάς σου, Λόγε ;

* * *

13. Νεφέλη κούφη σταυρικῷ ξύλῳ σε καθορῶσα,
δικαιοσύνης ἥλιε, κρεμάμενον τῷ θάμβει
βρέχει δακρύων ὀχετοὺς ὀδυνηρῶς βοῶσα·
Χριστέ, τί γίνομαι ἐγὼ σοῦ πάσχοντος ἀδίκως ;
ὁ κρῖναι μέλλων πᾶσαν γῆν Πιλάτῳ πῶς παρέστης ;
πρόσωπον πῶς ἐμπτύῃ δὲ τὸ φοβερὸν ἀγγέλοις ;
πῶς ὁ τὰ ξύλα τοῦ δρυμοῦ προστάγματι φυτεύσας
ἐν ξύλῳ νῦν κρεμάμενος ὡς κατάδικος φαίνῃ;

Ε 148

Ἦχος πλ. β'

14. Παρισταμένη τῷ σταυρῷ
καὶ δακρύουσα ἐλεεινῶς
ἐβόα ἡ Θεοτόκος λέγουσα·
οὐ φέρω, τέκνον, τῶν σπλάγχνων μου τὸν χωρισμὸν
οὐ στέργω καθορᾶν σε, τέκνον, ἐν σταυρῷ.
γλυκύτατε υἱέ μου
μὴ παρίδῃς με, υἱέ,
συμπαθείᾳ μητρικῇ
ἀλλ' ἀνάστα ἐκ τῶν νεκρῶν
ἵνα κράζω καυχωμένη
Κύριε δόξα σοι.

Ε 173

Ἦχος πλ. δ'

15. Ἐγὼ δὲ πῶς τὸ πάθος σου μὴ φέρουσα βαστάσω ;
πάσχω τὰ σπάγχνα μητρικῶς, συνέχομαι τῇ λύπῃ
δακρυρροῶ, λιποθυμῶ, τιτρώσκομαι καρδίαν
ἀλλὰ διὰ τὸ πλάσμα σου ἑκὼν ἐδέξω, Λόγε,
ὢ παραδόξου χάριτος! ὢ φιλανθρώπου τρόπου !

Ε 173

Ἦχος α'

16. Εἰ καὶ σταυρὸν ὑπομένεις
σὺ ὑπάρχεις ὁ υἱὸς καὶ Θεός μου.
ἠκολούθει Μαρία τρυχομένη
μεθ' ἑτέρων γυναικῶν ταῦτα βοῶσα·
ποῦ πορεύῃ, τέκνον;
δός μοι λόγον, Λόγε,
τίνος χάριν τὸν τραχὺν δρόμον τελεῖς,
ὁ ἁγνὴν τηρήσας με;
(Ἡ σύνθεσις τοῦ παρόντος ἐκ τοῦ Κοντακίου τῆς Μ. Πέμπτης ἑσπέρας)

Ε 173

Ἦχος α'

17. Ἐπὶ ξύλου βλέπουσα κρεμάμενον Χριστέ . . .
(Ἰδιόμελον τῶν Ἀποστίχων τῆς Μ. Πέμπτης ἑσπέρας)

Ε 173

Ἦχος βαρὺς

18. Ὅτε τὸ πάθος τὸ φρικτὸν ἑκὼν ἐδέχου, σῶτερ,
κτίσις τῆς τόλμης ἤσθετο καὶ τέρασιν ἐθρήνει
καὶ τετρακτὺς ἡ κοσμικὴ συνεθολοῦτο λίαν·
ἀλλ' ὁ κακοῦργος λεγεών, τὰ τῆς ἐχίδνης τέκνα
θεομαχοῦντες τὸν ἰὸν ἐκίρνουν τῆς κακίας.
ἡ δὲ παρθένος μήτηρ σου τὰ σπλάγχνα ῥηγνυμένη
δάκρυσι θρήνοις στεναγμοῖς περιπαθῶς ἐβόα·
τέκνον, φωτὸς λαμπρότερον πῶς ἠμαυρώθης πάσχων;
τέκνον, ζωῆς παρεκτικὸν πῶς ὑπὸ φθόνου θνήσκεις;
οἴμοι τοῦ πάθους τοῦ πικροῦ, τῆς φρίκης τῆς μεγίστης!
οἴμοι! χεῖρες ἀπάνθρωποι προφητοκτόνος δῆμος
ἀδίκως συλλαμβάνουσι, Λόγε, πλευρὰν κεντοῦσι
ῥαπίζουσιν ἐμπτύουσιν αἱμάσσουσι τὰς χεῖρας
καὶ προσηλοῦσι σταυρικῷ τῆς καταδίκης ξύλῳ·
μήτηρ δὲ βλέπουσα δεινῶς τῆς ἀθυμίας ξίφει
ἔνδον καρδίαν πλήττεται δακρύων ὄμβρους χέει
καὶ ποταμοὺς ἀναστομοῖ τοῖς ὄνυξιν αἱμάτων
ξαίνουσα ταύτης παρειὰς ἐκτίλλουσα τὰς τρίχας.

ΝΕΚΡΩΣΙΜΑ

Ε 108
Ε 173
Ι 185 φ. 282
Λ 166

Ἦχος α'

Ποίημα Ἰωάννου Λαμπαδαρίου

μέλος Κουκουζέλη

1. Ἁπάσης πλάνης, ἄνθρωπε, σχολάσας τῶν φροντίδων
κάθησον ἔνδον σκόπησαν ὡς πάντα ματαιότης.
ἐτρύφησας, ἐπλούτησας, ὑψώθης, ὑπερήρθης
εἰς ὕψος ἀναβέβηκας τῆς πολυζήλου δόξης
σκόπησον τοίνυν, ἄνθρωπε, ὡς πάντα ματαιότης·
ἀλλὰ τὸ τέλος φθάσαν σου μετὰ μικρὸν τοῦ βίου
ἅπαντα πλάνην ἤλεγξε ἅπαντα τάφος ἔχει.
γυμνὸς δὲ πάλιν εἰς τὴν γῆν ὑποχωρεῖς μὴ θέλων.
ὢ συμφορᾶς ὀδυνηρᾶς πράγματος ἀφορήτου.

*
* *

Ε 148
Ε 7
Λ 166

Ἦχος πλ. α'

2. Οἴμοι τὸ τέλος, ἄνθρωπε, ποῦ καταντᾷ τοῦ βίου.
ποῦ δόξα, ποῦ τοῦ σώματος ἀναδρομὴ καὶ κάλλος;
ὡς ἄνθος τάχος παραρρεῖ ὡς ὄναρ παρατρέχει
ὥσπερ σκιὰ τοῦ σώματος καὶ ἄστατος ὑπάρχει·
βλέψον τὴν φύσιν, ἄνθρωπε, καὶ σεαυτὸν ταπείνου.
κἂν γὰρ σοφὸς κἂν ἔνδοξος κἂν εὐγενὴς τυγχάνῃς
μετὰ μικρὸν προφθάσαντος τοῦ φυσικοῦ θανάτου
ἄσοφος, ἄδοξος εἰς γῆν γυμνὸς ὑποχωρήσεις
μηδὲν ἐπιφερόμενος τῆς κοσμικῆς φροντίδος.

*
* *

Λ 166

3. Ἀδελφοί μου πνευματικοί,
μή μου ἐπιλάθησθε ὅταν προσεύχεσθε
βλέποντες τὸν τάφον μέμνησθε τῆς ἀγάπης
καὶ ἱκετεύσατε Χριστὸν
ὅπως κατατάξῃ τὸ πνεῦμά μου
μετὰ τῶν δικαίων.

*
* *

Ε 173
Ε 148
Ε 7
Λ 166

Ἦχος πλ. δ'

4. Στῆθι καὶ βλέψον, ἄνθρωπε, τὸ τῆς ζωῆς σου τέλος

καὶ σκέψιν λάβε κατὰ νοῦν καὶ μάθε σου τὴν φύσιν.
θρήνησον βλέπων με νεκρὸν τὸν πρὸ μικροῦ σοι φίλον.
ἔπαυσαν ὄργανα φωνῆς λαμπρότητες ὀμμάτων
ὡς ἄνθος τοῦ προσώπου μου τὸ κάλλος ἐμαράνθη
καὶ πρὸς τὴν γῆν ὁ γηγενὴς καὶ πάλιν ἐπιστρέφω
καὶ τάφος ξένη φυλακὴ χωρίζει με τῶν φίλων.
ὢ παραδόξου συμφορᾶς ! ὢ μυστηρίου ξένου !

5. Τί μάτην τρέχεις, ἄνθρωπε . . . Ε 173 (ἦχος βαρύς).
6. Ἐξομολογήσομαί σοι . . . Ε173 (ἦχος πλ. β΄).
7. Ὢ ἀπάτη . . . Ε173 (ἦχος β΄).

I 185 φ. 280

Ποίημα Ξανθοπούλου, οὗ ἡ ἀκροστιχὶς
«Κομνηνὸς»
τὸ δὲ μέλος τοῦ Μαΐστορος

8. Κόσμου τὴν πλάνην, ἄνθρωπε, καὶ τὴν ἀπάτην βλέπε
ὄναρ ὁ βίος ἀληθῶς, φάσμα σκιὰ καὶ κόνις . . .

ΚΑΤΑΝΥΚΤΙΚΑ

Μέλος Κουκουζέλη

Ε 148
Λ 166

Ἦχος α΄

1. Μὴ πρὸς τὸ πλῆθος τῶν πολλῶν σφαλμάτων μου, Χριστέ μου,
ἀντιμετρήσῃς μοι πολλὰς ἐν κρίσει τὰς κολάσεις·
ρημάτων γὰρ ἀθετητὴς σῶν γεγονὼς τῶν θείων
γῆς ἅπαντας νενίκηκα βροτοὺς ἐν ἁμαρτίαις.
ἀεί μοι καὶ ἐκδέχεται τοίνυν πικρὸς ὁ σκώληξ
ρεῖθρα θαλάττης φλογερᾶς ἐμπεριμένουσί με·
ἵσταται προσδεχόμενος τόπος πικρός με σκότους
ταρτάρου χῶρος ἀφεγγής, βρυγμὸς ὁ τῶν ὀδόντων
ἡτοιμασμένος κλῆρός μοι πέφυκε τῷ δυστήνῳ.
σὺ δ᾽ ἄλλως φύσις συμπαθὴς ρῦσαί με τούτων πάντων
μὴ πρὸς τὸ πλῆθος τῶν πολλῶν σφαλμάτων μου, Χριστέ μου,
ἀντιμετρήσῃς μοι πολλὰς ἐν κρίσει τὰς κολάσεις.

*
* *

Ε 148
Ε 173
Λ 166

Ἦχος α΄

2. Οἴμοι ψυχὴ τί ραθυμεῖς, τί προσδοκᾷς ἀθλία ;
ἐγγίζει φθάνων ὁ κριτὴς καὶ σπεῦσον μεταγνῶναι

μήπως αἰσχύνης πληρωθῇς ἐνώπιον ἀγγέλων
καὶ τῆς χαρᾶς ἀποκλεισθῇς, τῆς δόξης τοῦ νυμφίου.
ναὶ ναὶ προκαταλλάγηθι, ψυχή, τῷ σῷ Δεσπότῃ.

*
* *

Ε 148
Λ 166

Ἦχος α΄

3. Ὑπὲρ λῃστὴν καὶ Μανασσῆν καὶ πόρνην καὶ τελώνην
φιλαμαρτήμων γεγονὼς ἔπραξα, παντοκράτορ.
ἄλλην γὰρ ἄλλος ἔπραξεν ἐκείνην ἁμαρτίαν,
ἐγὼ δὲ πάσας ἐμαυτῷ ὅλας ἐξεπραξάμην
καὶ φρίττω σου τὴν ἀπειλήν, πτοοῦμαι τὴν ὀργήν σου.
ἀλλ᾽ οἶδά σου τὸ συμπαθὲς καὶ τὴν μακροθυμίαν,
οἶδα θερμῶς ζητοῦντά σε τὴν ἐμὴν σωτηρίαν.
ὅθεν κραυγάζω πεποιθώς, σῶτερ ἐλέησόν με.

*
* *

Ε 148
Ε 173
Λ 166
I 185 φ. 276β

Ἦχος α΄

4. Θρηνῶ καὶ κλαίω καὶ πενθῶ καὶ τύπτω μου τὰ στέρνα
καὶ βρυχηθμοὺς καὶ μυκηθμοὺς καὶ κοπετοὺς ἐκπέμπω
ψυχῆς ἐκ μέσης ἐπειδὰν κατανοήσω, φίλοι,
τὴν τῆς ζωῆς μου τελευτὴν καὶ τῶν ἐναερίων
δαιμόνων τὴν ἐπίθεσιν τῆς καταδυναστείας.
οὐδείς μοι τότε βοηθὸς οὐ συγγενὴς οὐ φίλος
οὐκ ἀδελφός μου γνήσιος οὔτε πατὴρ οὐ μήτηρ.
καὶ ποῦ λοιπὸν πορεύσομαι ; πρὸς τίνα καταφύγω,
εἰμὴ πρὸς σὲ τὴν ἄχραντον Παρθένον καὶ μητέρα;

*
* *

Ε 148
Ε 173
I 185 φ. 276

Ἦχος πλ. α΄

5. Τὴν φοβεράν σου, βασιλεῦ, δευτέραν παρουσίαν
πίστει καὶ φόβῳ προσδοκῶ, ἐξίσταμαι καὶ τρέμω
πῶς ἀτενίσω τῷ κριτῇ πῶς εἴπω μου τὰς πράξεις ;
τίνα μεσίτην χρήσομαι, πῶς φύγω τὰς κολάσεις ;
ἀπαγορεύων ἐμαυτὸν πρὸς σὲ νῦν καταφεύγω
σῶσόν με, σῶτερ, δωρεὰν δι᾽ οἶκτον εὐσπλαγχνίας.

Ἦχος α΄

Λ 166

6. Ῥύπου μεστὸς ὢν τὴν ψυχὴν τῷ πλήθει τῶν σφαλμάτων
καὶ μεμνημένος τῆς πικρᾶς ἐκείνης καταδίκης
τίς γένομαι; ποῦ τράπομαι; ποῖ καταλύσω ὁ τάλας;
σύμμαχον τίνι χρήσομαι; τίς δ' ἀρωγὸς οἰκείων;
τίς δὲ φίλων; ὢ τῶν ἐμοὶ ὀδύνων ἀποκειμένων!
ἀπείρηκα παντάπασι κλύδωνι τῶν πταισμάτων
καὶ πρὸς λιμένα, πάναγνε κόρη, θεογεννῆτορ,
τῶν σῶν ἀφάτων οἰκτιρμῶν σὺν τόλμῃ καταφεύγω.
καὶ γὰρ οὐκ ἄλλος βοηθὸς ὅτε Θεὸς δικάσει.

*
* *

Ἦχος . . .

Λ 166

7. Ἐξ ἀδεκάστου μου κριτοῦ, τοῦ συνειδότος λέγω,
δικαίως γὰρ εἰς γέενναν βληθήσομαι καὶ σκότος
καὶ τάρταρον καὶ εἰς βρυγμὸν ὀδόντων καὶ σκωλήκων.

*
* *

Ἦχος

Λ 166

8. Ὁ ποταμὸς τῶν δωρεῶν, ἁγνή, τῶν ἀκενώτων
πηγὴ πόμα ἡ βλύζουσα τῶν θείων χαρισμάτων
ναμάτων κόρεσον ἡμᾶς διψῶντας ἐναρέτων
καὶ μετανοίας ὀχετῷ, ἐπιστροφῆς δακρύων
μὴ δεηθῶμεν ἐν φλογὶ τῆς γλώττης καιομένης
ἀκροβαφοῦς ἐν ὕδατι δροσίζοντος δακτύλου.

*
* *

Ἦχος

Λ 166

9. Θρῆνον θρηνήσεις φοβερόν, ψυχή μου παναθλία,
βλέπουσα τὸν ἀδέκαστον κριτὴν ἐπὶ τοῦ θρόνου
καθήμενον καὶ κρίνοντα πᾶσαν τὴν γῆν δικαίως
καὶ κατ' ἀξίαν ἕκαστον τῶν ἔργων ἀποδόντα.
οἴμοι, ψυχή μου, ταπεινή! πῶς φύγῃς τὰς κολάσεις
[τοὺς σκώληκας] καὶ τὸν πικρὸν φλογμὸν τὸν τῆς γεέννης;
Λοιπὸν ἀπόθου ἅπασαν κακίαν ψυχοφθόρον

καὶ πρὸς τὸν κτίστην βόησον Θεὸν τὸν πλάσαντά σε
καὶ ὡς φιλάνθρωπος Θεὸς ῥῦσαί με τῆς γεέννης.

*
* *

Ε 173
Λ 166
Ι 185 φ. 276

Ἦχος β΄

10. Εἰς νοῦν ἂν λάβω τῶν ἐμῶν ἁμαρτημάτων πλῆθος
καὶ τῆς μελλούσης κρίσεως ἐνθυμηθῶ τὴν ὥραν
στένω, δακρύω τῇ πολλῇ καρδίας ἀθυμίᾳ
κλονοῦμαι, συνταράσσομαι, συνέχομαι τῇ λύπῃ
καὶ πάλιν πράττω τὰ δεινὰ τοῦ χρόνου συνηθείᾳ.
ἅπερ φυγεῖν ἐπιζητῶ ταῦτα καὶ πάλιν πράττω.
πότε ψυχή μου, τῶν κακῶν μακρόθεν ἀποστήσῃς;
καὶ κλαύσῃς ἅπερ ἔπραξες καὶ τύχῃς τῆς συγγνώμης;

*
* *

Ἦχος

Λ 166

11. Ὅταν εἰς νοῦν ἐνθυμηθῶ πάσας τοῦ βίου πράξεις
ἃς ἀμελῶς ὁ δείλαιος ἔπραξα καὶ ῥαθύμως,
τύραννον ἔχω τὴν ἐμὴν συνείδησιν εὐθέως
ἐκπλήττομαι, δεδίττομαι, στένω, πενθῶ, δακρύω
καὶ τὰς μενούσας με πικρὰς φαντάζομαι κολάσεις
σκώληκα τὸν ἀκοίμητον, τὴν φλόγα τῆς γεέννης
καὶ τῶν ὀδόντων τὸν βρυγμόν.
οἴμοι, ψυχὴ ταλαίπωρε, οἴμοι ψυχή μου κλαῦσον.

*
* *

Ἦχος

Λ 166

12. Δεύτερος φεῦ μοι! γέγονα ἄσωτος ἐν τῷ βίῳ
ἑκὼν κατεδαπάνησα τὸν πλοῦτον τῆς ψυχῆς μου.
ὕλη παθῶν ἐκάλυψε καρδίας μου τὰς κόρας.
τί οὖν ποιήσω ὁ δεινός, πῶς βλέψω τὸν Δεσπότην;
ῥᾳδίως ἀπελεύσομαι εἰς πῦρ τὸ τῆς γεέννης.
οἴμοι ψυχὴ ταλαίπωρε! πῶς φύγῃς τὰς κολάσεις;
στέναξον, πένθησον πικρῶς καὶ βόησον πρὸ τέλους·
Χριστέ μου Λόγε καὶ Θεὲ δέξαι με ὡς τὴν πόρνην
ὡς μόνος πολυέλεος καὶ συμπαθὴς οἰκτίρμων.

Λ 166

Ἦχος

13. Ὄντως δακρύων ὀχετοὺς ἐξ ὀφθαλμῶν προχέω
ὅταν πταισμάτων πέλαγος ἐνθυμηθῶ, Παρθένε,
καὶ κύματα κυρτούμενα πνοῇ παραπτωμάτων
θρηνῶ, δακρύω, στεναγμοὺς ἐκ βάθους τῆς καρδίας
βροντώδεις πλείστης μεθ' ὁρμῆς ὡς ἐκ νεφῶν ἐκπέμπω
μὴ κεραυνὸς ἐξ οὐρανοῦ φοβούμενος ραγείη
καὶ κατακαύσῃ μου τὴν ναῦν, τὸ σῶμα τοῦτο λέγω,
καὶ κυβερνήτην τὴν ψυχὴν τοὺς οἴακας λιπόντα
καὶ μὲ καθάπαξ τῷ βυθῷ προΐσεται τὸν τάλαν.

* * *

Λ 166

Ἦχος πλ. α'

14. Πέλαγος πλέουσα, ψυχή, [τὸ] τῶν παραπτωμάτων
οἴμοι βυθίζῃ κύμασιν, ἀθλία, τοῦ βορβόρου
ὡς σκάφος κυλινδούμενον δεινῶς ἐν τῷ πελάγει
καὶ καταποντιζόμενον τοῖς κύμασι τοῦ βίου.
λιμένι πρόσδραμε λοιπὸν μητροπαρθένου κόρης
καὶ φύγειας τὸν κλύδωνα φεῦ! τὸν ἀπατεῶνα
καὶ τὴν κοπὴν τὴν φοβεράν, κατὰ τὸ γεγραμμένον.

* * *

Ε 148
Λ 166

Ἦχος πλ. α'

15. Ἄνθρωπε, θρήνησον πικρῶς καὶ στέναξον πρὸ τέλους
καὶ ζήτησον τὴν ἄφεσιν τῶν σῶν παραπτωμάτων
μνημόνευε διηνεκῶς τῆς τελευταίας ὥρας
καὶ πᾶσα πρᾶξις πονηρὰ τάχιστα δραπετεύσει.
οὐκ οἶδας γὰρ τὴν τελευτὴν ὁποίᾳ ὥρᾳ ἔσται
χαίρων, ἐσθίων, σπαταλῶν, διάγων ἀμερίμνως
ἥξει τὸ τέλος, ἄνθρωπε, καὶ ποῦ λοιπὸν πορεύσῃ;
πρὸς τίνα τὴν καταφυγὴν ποιήσεις; φεῦ τοῦ πάθους!
πρὸς τὴν Παρθένον τάχυνον τὴν τοῦ Θεοῦ μητέρα
καὶ ταύτην ἐκδυσώπησον ἐξ ὅλης σου καρδίας
τὴν δυναμένην σῶσαί σε κολάσεως ἁπάσης.

Λ 166

Ἦχος

16. Ἄνθρωπε, τίς ἡ πλάνη σου καὶ τίς ἡ ματαιότης;
οὐκ ἔγνως, οὐκ ἐσκόπησας τοὺς πρὸ σοῦ τεθνηκότας
πῶς ἅπαν πολυέραστον τούτοις οὐ συναπῆλθεν;
οὐ φίλος οὐδὲ συγγενής, οὐ πλοῦτος οὐδὲ δόξα
οὐ τῶν σωμάτων ἡδοναί, ἀλλ' οὐδὲ τῶν χρημάτων.
τί οὖν καθεύδεις τὸν βαθὺν τῆς ῥαθυμίας ὕπνον;
ἀνάστηθι, γρηγόρησον πρὸ τῆς τομῆς τοῦ τέλους
ἱλέωσαί σου τὸν κριτὴν ἐν οἰκτιρμοῖς πενήτων.

* * *

Λ 166

Ἦχος

17. Φρίττει καὶ τρέμει ἡ ψυχὴ τοῦ δυστυχοῦς μου σκήνους
ἐνθυμουμένη κατὰ νοῦν τὴν ὥραν τοῦ θανάτου
πῶς ἄσπλαγχνοι ρομφαίοντες ἄγγελοι εἰσελθόντες
χωρίσουσι τοῦ σώματος αὐτὴν τοῦ παναθλίου
καὶ πρὸς κριτὴν τὸν φοβερὸν ἄγουσι παραστῆσαι,
ὃς δίκας ἐκποιούμενος τοῦ λόγου τῶν πρακτέων
εἰς γέενναν καὶ τάρταρον ἐκπέμπει τὸν φρικώδη.
τί οὖν ποιήσεις, ὦ ψυχή, πῶς φύγῃς τὰς κολάσεις;
Λοιπὸν ἐκ βάθους στέναξον καὶ θρήνησον πρὸ τέλους
καὶ τῶν κακῶν ὧν ἔπραξας ἀπόστηθι τελείως
καὶ φείσεταί σοι ὁ Θεὸς διὰ τῆς μετανοίας.

* * *

Λ 166

18. Διὰ τὰ ἔργα μου τὰ δεινὰ
πάσης παρρησίας ἐστέρημαι,
καὶ κράζειν οὐ τολμῶ τὸ ἱλάσθητι.
ἀλλὰ σὺ μόνος οἶδας, Κύριε,
ἀφιέναι ἁμαρτίας
ἐλέησόν με, Κύριε, ἱλάσθητί μοι
διὰ τὰ ἔργα μου τὰ δεινὰ
καὶ ἐλέησόν με.

* * *

Λ 166

19. Κατανοῶν ἀβύσσους μου πολλῶν παραπτωμάτων
καὶ τρικυμίας τῶν παθῶν καὶ σάλου τῶν κυμάτων

καὶ κλύδωνάς μου τῶν παθῶν ψυχῆς τῆς ταλαιπώρου
ἐκπλήττομαι τὸν ὄλεθρον καὶ τὸν βυθὸν προβλέπων
ὡς σκάφος χειμαζόμενον ἐνδείκνυμαι, Παρθένε,
τῇ ζάλῃ τῇ τῶν λογισμῶν μέλλω καταποντοῦσθαι
κατανοῶν ἀβύσσους σου καὶ οἰκτιρμῶν [τὸ πλῆθος]
προσφεύγω καὶ προσέρχομαι τῷ σῷ λιμένι, κόρη,
ἐξάρπασόν με τῶν παθῶν, ῥῦσαί με τοῦ κινδύνου
ἵν' εἰς ἀεὶ δοξάζω σε τὴν κεχαριτωμένην.

Ε 148
Ε 173
Ι 185 φ. 282
Λ 166

*
* *

Ἦχος πλ. α'

20. Μετὰ κλαυθμῶν, μετ' ὀδυρμῶν ἐκτήκω μου τὸν βίον
ὅτι τὸ πρὶν παράδεισον λαχὼν εἰς κληρουχίαν
ἐξώσθην τούτου καὶ πρὸς γῆν ἐν λύπαις κατηνέχθην
καὶ μετὰ ταύτην τὴν ποινὴν ἄλλη με μένει δίκη
φλογμὸς πυρὸς ἀκάματος, σκότος, ἀορασία,
ἐξ ὧν με, πλάστα καὶ κριτὰ καὶ λυτρωτὰ καὶ σῶτερ,
ἅρπασον, ἐλευθέρωσον, λύτρωσαι, ῥῦσαι, σῶσον.

Ε 148
Ε 173
Λ 164
Λ 166

*
* *

Ἦχος βαρὺς

21. Ὄντως δακρύων ἄξια τὰ πράγματα τοῦ κόσμου
θρήνου καὶ πένθους καὶ κλαυθμοῦ καὶ στεναγμοῦ καὶ γόου
ὄντως ἐστὶν Ἡράκλειτος βέλτιος Δημοκρίτου
καὶ σύμπας ἄλλος ὁ πενθῶν ἀλλ' οὐ γελῶν τὸν βίον.
ἀτμὶς καὶ τέφρα καὶ καπνὸς τὸ τῶν ἀνθρώπων γένος.
ἄνθος εὐθέως ἀπανθοῦν, φύλλον αὐτίκα ῥέον.
καὶ πῶς οὐ πάντῃ προσφυὲς πενθεῖν ἐν τοῖς τοιούτοις :
ὄντως δακρύων ἄξια τὰ πράγματα τοῦ κόσμου.

*
* *

Ἦχος πλ. β'

Λ 166

22. Μή με στήσῃς ἐν ὥρᾳ, Δέσποτα, κρίσεως
μετὰ τῶν κατακρίτων ὄντα κατάκριτον
ἀλλὰ τὸν μικρὸν στεναγμόν μου δεξάμενος
σῶσόν με πρεσβείαις τῆς σῆς μητρός, οἰκτίρμον.

Λ 166

23. Οἴμοι, ψυχή, πῶς παραστῇς αἰσχύνης πεπλησμένη
τῷ ἀδεκάστῳ καὶ φρικτῷ βήματι τοῦ σωτῆρος
ἔργοις καὶ λόγοις πταίσασα καὶ λογισμοῖς ἀτόποις.
τίς ὁ ῥυσόμενός σ' ἐκεῖ μὴ μεταγνοῦσα ὧδε ;
οὐδεὶς ὁ προστησόμενος, ἀθλία, μετανόει.

*
* *

Ε 173
Λ 166

Ἦχος βαρὺς

24. Θρήνησον, κλαῦσον, στέναξον, βόησον ἐκ βαθέων,
μεσίτην ἐπικάλεσαι τὴν ὑπέρτιμον κόρην
τῶν ἀποστόλων τὸν χορὸν τὰ τῶν μαρτύρων στίφη
τῶν ἀσκητῶν συστήματα καὶ πάντων τῶν ἁγίων
φιλάνθρωπος ὁ Κύριος Θεὸς μετανοούντων.

*
* *

Λ 166

25. Ἐν τῇ φρικτῇ παρουσίᾳ σου, Χριστέ,
μὴ ἀκούσωμεν οὐκ οἶδα ὑμᾶς.
τὴν γὰρ ἐλπίδα ἐπὶ σὲ τῷ σωτῆρι ἐθέμεθα·
εἰ καὶ τὰ σὰ προστάγματα οὐ πράττομεν
διὰ τὴν ἀμέλειαν ἡμῶν
ἀλλὰ φεῖσαι τῶν ψυχῶν ἡμῶν δεόμεθα.

*
* *

Λ 166

26. Τίς μοι τὸν θρῆνον τὸν ἐμὸν παύσῃ, θεογεννῆτορ,
τὸν τῆς ἐμῆς καρδίας ; ἄλλος οὐδείς μοι βοηθός.
δέξαι τὸν θρῆνόν μου, ἁγνή, δέξαι τὰ δάκρυά μου
καὶ ῥῦσαι πάσης ἀπειλῆς καὶ πάσης τρικυμίας
ὅτι πρὸς σὲ κατέφυγον τὴν μόνην Θεοτόκον.

*
* *

Ἦχος . .

Λ 166

27. Ὥραν ἐκείνην τὴν φρικτὴν εἰς νοῦν ἐμβάλλω, σῶτερ,
ὅταν κριτὴς ὁ φοβερὸς καθήσῃς ἐπὶ θρόνου
τὰς πράξεις πάσας παριστῶν τῶν ἀπ' αἰῶνος πάντων
ἐλεγχομένων πράξεων καὶ βίβλων προτεθέντων·
δέδοικα δ' ἐνθυμούμενος τὴν κόλασιν ἐκείνην.

ἅπαντα τοίνυν φανερὰ παρίστανται ἐκεῖσε,
ἀλλὰ τὸ τέλος μέμνησο, ψυχή, τὸ τοῦ θανάτου
καὶ σπεῦσον πρὸς φιλάνθρωπον, ἐπίστρεψον ταχέως
καὶ βόησον τὸ σῶσόν με δι' ἄκραν εὐσπλαγχνίαν.

* * *

Λ 166

28. Νῆφε, ψυχή μου ταπεινή, καὶ σκόπησον τὸν βίον
καὶ φύλαττε τῆς χάριτος τὴν παρακαταθήκην,
ἣν εἴληφας ἐκ τοῦ λουτροῦ τῆς παλιγγενεσίας
μήπως ὁ κλέπτης ἐπιστὰς τὸν πλοῦτόν σου κενώσῃ
καὶ σὺ λιμώξῃς ἐν καιρῷ τραπέζης ἀκηράτου.
μέχρι γὰρ τίνος ἡδοναί ; μέχρι δὲ τίνος πότοι ;
καὶ χρήματα καὶ κτήματα καὶ δόξα τῶν ἀνθρώπων;
ἀπόστηθι τῶν πονηρῶν, ἐπίγνωθι τὸ πρέπον
καὶ στέναξον καὶ πρόσδραμε τῷ συμπαθεῖ Δεσπότῃ.
ὁ γὰρ τοῦ βίου σου τροχὸς ὑψώσας ὑποσπάσει
ἥξει καιρὸς μετὰ μικρὸν καὶ γνώσῃ μου τοὺς λόγους
ὅτε λυθήσῃ δυστυχῶς τῶν ἐπὶ γῆς φροντίδων.

* * *

Λ 166

29. Φοβήθητι τὴν φοβερὰν ἡμέραν, ὦ ψυχή μου,
καὶ τῶν κακῶν ὧν ἔπραξας ἀπόστηθι τελείως
δάκρυσον, στέναξον πικρῶς καὶ τάχυνον πρὸ τέλους
πρὸς τὴν Παρθένον τὴν ἁγνὴν καὶ μόνην Θεοτόκον
καὶ ταύτην δεξιώθητι δουλοπρεπῶς βοῶσα·
ἐλέησόν με, Δέσποινα Παρθένε Θεοτόκε,
τῶν ὀρθοδόξων ἡ ἰσχὺς καὶ τῶν πιπτόντων στάσις.
σύ μοι γενοῦ βοήθεια, ἐλπὶς ἀπηλπισμένων.

* * *

Λ 166

30. Θρήνησον, κλαῦσον, ὦ ψυχή, τοῦ τέλους ἐπελθόντος
μήπως καυθῇς ὡς ἄχυρον δρεπάνῃ θερισθεῖσα
καὶ δένδρον ὥσπερ ἄκαρπον αὐχμῷ τῆς ἁμαρτίας
ξηραινομένη τῷ πολλῷ καὶ καύσωνι πταισμάτων
τὴν φοβερὰν ἐννόησον ὥραν τῆς καταδίκης
καὶ τὴν φωνὴν τοῦ δικαστοῦ Θεοῦ τοῦ πλάσαντός σε.

Ε 173
Λ 166

Ἦχος βαρὺς

31. Ἰδού, ψυχή, προσήγγισε τὸ τῆς ζωῆς σου τέλος,
ἰδοὺ τὸ βῆμα τὸ φρικτόν, ἡ κρίσις ἡ δικαία
σὺ δὲ καθεύδεις ἐν βαθεῖ τῆς ἁμαρτίας ὕπνῳ
τρυφῶσα, καταπίπτουσα, γελῶσα, χαυνουμένη.
πῶς τοίνυν τὴν ὑπερβολὴν ὑποστῇς τῆς αἰσχύνης ;
ἢ πῶς τὴν ἀπαράκλητον ἀπόφασιν ἐνέγκῃς ;
ἀλλ' ἀναστᾶσα δάκρυε καὶ μὴ καταρραθύμει
καὶ θρήνοις ἀναζώωσον σαυτὴν ἀπολωλυῖαν.

* * *

Ε 148
Λ 166

Ἦχος βαρὺς

32. Πολλὰ πολλάκις πταίοντι μακροθυμεῖς μοι, Λόγε,
πολλάκις ἁμαρτάνοντι, σῶτερ, οὐκ ἀποδίδεις·
ἀλλ' ὡς Θεὸς ἁμαρτωλοῦ τὸν θάνατον μὴ θέλων
ζητεῖς μου τὴν ἐπιστροφὴν [1] ἐν συντριμμῷ καρδίας.
μὴ οὖν λέων ὁ ἄγριος ἁρπάσῃ τὴν ψυχήν μου [2]
μὴ ὄντος δυνατοῦ τινος αὐτὴν ἐξιλεοῦσθαι.
ἠνόμησε καὶ Μανασσῆς ἀλλὰ κἀκεῖνος λόγῳ
μετανοήσας ἔλαβε λύσιν ἀνομημάτων.
ἠρνήσατο καὶ μαθητής, ἀλλὰ δακρύσας πάλιν
εὐθὺς καὶ τὴν συμπάθειαν ἐκ τῶν δακρύων εὗρεν.
εἶπε τὸ «μνήσθητι» λῃστὴς ἤκουσεν ἀντὶ τούτου
σήμερον μετ' ἐμοῦ ἐντὸς τοῦ παραδείσου ἔσει.
διὸ κἀγὼ κραυγάζω σοι· σῶτερ, ἐλέησόν με.

* * *

Λ 166

33. Ψυχή, τὸ ἐπιτίμιον συκῆς τῆς ξηρανθείσης
φοβήθητι καὶ ποίησον καρποὺς τῆς μετανοίας
μήπως ἐλθὼν ὁ βασιλεὺς ἐν τῇ μελλούσῃ κρίσει
ὡς ἄκαρπον ἐκπέμψῃ σε εἰς πῦρ τὸ τῆς γεέννης.
καὶ γὰρ ὁ δίκαιος κριτὴς καθὼς εὕρῃ κρινεῖ σε
καὶ φεῦ τῆς ἀποφάσεως τῆς φοβερᾶς ἐκείνης!
μετὰ μωρῶν αἰδέσθητι παρθένων συνταγῆναι
καὶ ταῖς φρονίμοις σύναψον σαυτὴν πρὸ τῆς ἐξόδου

[1] Ζητεῖς γὰρ μετ' ἐπιστροφῆς Κῶδ.
[2] Μὴ γὰρ ὡς λέων ἄγριος ἁρπάσῃς τὴν ψυχήν μου Κῶδ.

καὶ οὐ θρηνήσεις ἄπρακτα κρούουσα τὸν πυλῶνα.
καὶ γὰρ οὐκ ἔστιν ἔλεος, ψυχή μου, μετὰ μόρον.

* *
*

Λ 166

34. Ψυχὴ πολυαμάρτητε καὶ τετραυματισμένη
καὶ παντελῶς ἀσύνετε μηδόλως μεταγνοῦσα,
τί παραμένεις ἐμπαθῶς τοῦ βίου ταῖς φροντίσι
καὶ ταῖς ἀλύσεσιν αὐτοῦ στρεβλοῦσαι καθ' ἑκάστην;
ἀνάνηψον, ταλαίπωρε, βλέψον ἀξίως, βλέψον
καὶ μνήσθητι τῆς φοβερᾶς δευτέρας παρουσίας
καὶ τὸν κριτὴν τὸν φοβερὸν τὸν μέλλοντά σε κρῖναι
φοβήθητι καὶ στέναξον καὶ θρήνησον καὶ κράξον·
ἐλέησόν με, βασιλεῦ Δέσποτα παντοκράτορ,
καὶ τῆς μελλούσης λύτρωσαι κολάσεως ἐκείνης.

*
* *

Λ 166

35. Ὢ πῶς, Χριστέ μου, παραστῶ γυμνὸς τῷ βήματί σου
ὁ δείλαιος [ὁ ἄθλιος] καὶ τετραχηλισμένος;
ἀλλ' ἔφριξα τῆς φοβερᾶς μνησθεὶς ἐκείνης ὥρας,
σύντρομον γέγονεν ἰδοὺ τὸ ταπεινόν μου πνεῦμα.
τίς γάρ μοι τότε βοηθός, τίς ὁ ῥυσόμενός με,
δικαιοκρίτα βασιλεῦ, τῆς σῆς δικαίας δίκης;

*
* *

Ε 148
Λ 166

Ἦχος πλ. α'

36. Ὅταν εἰς νοῦν τὸ φοβερὸν κριτήριον, Χριστέ μου,
τῆς σῆς δευτέρας δι' ἐμὲ καθόδου, σῶτερ, λάβω
φρίκης ἁπάσης ἔμπλεως γίνομαι παραχρῆμα
καὶ πρὸ τῆς ἀποφάσεως ἀπόφασιν λαμβάνω.

*
* *

Ε 148
Λ 166

Ἦχος πλ. δ'

37. Τοῖς ἀκαθάρτοις λογισμοῖς παρασυρθεὶς ὁ τάλας
καὶ πρὸς ἀτόπους ἡδονὰς ἀφρόνως ἀποκλίνας
πάθεσιν οἴμοι! γέγονα αἰχμάλωτος αἰσχύνης
καὶ κεῖμαι πτῶμα χαλεπὸν παίγνιον τῶν δαιμόνων.
ἀλλὰ σὺ φθάσας ὁ πολὺς ἐν οἰκτιρμοῖς, Θεέ μου,

τῆς τούτων ἐλευθέρωσον δεινῆς μου τυραννίδος
καιρὸν διδοὺς ἐπιστροφῆς καὶ συντριβὴν καρδίας.

*
* *

Λ 166

38. Ὅταν τὸν νοῦν ὡς δικαστὴν τῶν ἔργων παραστήσω
καὶ τὴν ἐμὴν συνείδησιν εἰσφέρω λογοδότην
σύννους ὁρῶ καὶ κατηφὴς τὰ ἔργα τῆς αἰσχύνης
οὐδὲ τολμῶ τοῖς ὀφθαλμοῖς τὸν οὐρανὸν ἐμβλέπειν
ἀλλ' ἡδονῶν ἡ κάμινος [ἀμέτρως] ἀναφθεῖσα
ἐκκαίει με, καθέλκει με, τοῖς ἀπηγορευμένοις.
οἴμοι ψυχὴ κατάκριτε, πῶς παρατρέχεις μάτην!
πῶς τῆς μελλούσης ἀπειλῆς ἐκφύγῃς τὰς εὐθύνας!

*
* *

Λ 166

39. Ἄνθρωπε, στέναξον πικρῶς, κλαῦσον ἀπὸ καρδίας
ἴδε τὰ μέλλοντα δεινὰ τὰ ἀναμένοντά σε
καὶ τὴν φρικτὴν ἀπόφασιν ἐκείνην τὴν μεγάλην.
κριτὴς Θεὸς ὡς ἄνθρωπος κάθηται ἐπὶ θρόνου
οὐκ ἔστ' ἐξομολόγησις ἐκεῖ οὔτε δυνάστης.
πάντα γὰρ φρίκης γέμοντα, ἐπιστροφὴ οὐκ ἔστιν.
ὁ συγγενὴς οὐ δύναται οὐ φίλος βοηθῆσαι.
τί οὖν ἡμεῖς ποιήσωμεν οἱ πταίσαντες ἀμέτρως;
πρὸς τὸν Δεσπότην δράμωμεν Θεὸν τῶν πάντων κτίστην
τὰς ἀνομίας τε ἡμῶν βοήσωμεν καὶ πράξεις
εἰς τέλος τῆς γεέννης τε πυρός τε τοῦ ἀσβέστου
ἡμᾶς πάντας ἀπάλλαξον σὸν πλάσμα μὴ παρίδῃς
πρεσβείαις τῆς τεκούσης σε πανάγνου Θεοτόκου.
ταύτης ἡμεῖς θαρρείημεν βεβαίαν τὴν ἐλπίδα
ἐπεὶ τὴν σάρκα ἔλαβες ἐκ κόρης ἀπειράνδρου.

*
* *

Λ 166

40. Ψυχή μου, θρήνησον πικρῶς, κλαῦσον ἀπὸ καρδίας
καὶ στέναξον καὶ δάκρυσον ἤγγικέ σου τὸ τέλος
καὶ τῷ Κυρίῳ βόησον ἐν κατανύξει οὕτως·
ἡμάρτηκα, παμβασιλεῦ, ὑπὲρ ληστὴν καὶ πόρνην,
ἠνόμησα ὡς Μανασσῆς καὶ ὑπὲρ τὸν τελώνην
καὶ τρέμω τὴν ἀπόφασιν τὴν φοβερὰν ἐκείνην.
οἴμοι! τίς γένωμαι; βαβαὶ πῶς φύγω τὰς κολάσεις!

Λοιπόν, Χριστὲ φιλάνθρωπε, πρεσβείαις τῆς ἀχράντου
καὶ πανυμνήτου σου μητρὸς καὶ κεχαριτωμένης,
ἣν ἀνυμνοῦσιν οὐρανοὶ τῶν οὐρανῶν ἀπαύστως
ἡ γῆ καὶ πάντα τὰ ἐν γῇ καὶ πᾶν γένος ἀνθρώπων,
ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ ἔλεός σου.

* * *

Λ 166

41. Δέξαι καὶ πάλιν, Δέσποτα, δέησιν σοῦ ἱκέτου
καὶ στεναγμοὺς καὶ δάκρυα ἐκ βάθους τῆς καρδίας.
κλίνω μου γόνυ πρὸς τὴν γῆν καὶ τύπτω μου τὰ στέρνα,
βρέχω τοῖς δάκρυσιν αὐτὴν ἐκλιπαρῶν καὶ λέγων·
ἀπηλπισμένον δέξαι με καὶ τεταπεινωμένον
νενίκηκα ὁ ἄθλιος τοὺς πάλαι Νινευΐτας,
τὸν Μανασσῆν καὶ ἄσωτον πόρνην καὶ τὸν τελώνην
καὶ τὸν λῃστὴν τοῖς πταίσμασιν ὁ τάλας, ζωοδότα,
ἀλλ' ὡς ἐκείνους ἔσωσας, φιλάνθρωπε [Χριστέ μου],
οὕτω κἀμὲ συγχώρησον ὡς μόνος ἐλεήμων.

* * *

42. Ἀδὰμ ὁ φύλαξ τῆς Ἐδὲμ φαγὼν ἀπὸ τοῦ ξύλου
κρύπτεται μὲν ἀπὸ Θεοῦ μὴ φέρων τὴν αἰσχύνην
συκῆς δὲ κάθηται γυμνὸς ἐνδεδυμένος φύλλα·
διὸ καταδικάζεται μεγίστην ἐξορίαν
τρυφῆς τοῦ χώρου τῆς Ἐδὲμ ἀπελαθεὶς ἀθλίως.
ὢ τί σοι γέγονεν, Ἀδὰμ γένους ἡμῶν προπάτορ!

Ἦχος α'

E 173
I 185 φ. 287
Λ 166
E 108

Μέλος Καμπάνη καὶ Ἀνδρονίκου

καὶ Κουκουζέλη *(ἀπὸ τοῦ στίχου «Ἀλλὰ πενθῶν, ἀλλὰ θρηνῶν»)*

43. Ριφεὶς Ἀδὰμ ἐκ τῆς Ἐδὲμ τρυφῆς τῆς ἀκηράτου
ἐκάθησεν ἀπέναντι περιπαθῶς δακρύων,
ἀλλὰ πενθῶν ἀλλὰ θρηνῶν τὴν εἴσοδον οὐχ εὗρεν.
τρυφῆς δ' ἐγὼ τῶν ἀρετῶν ἐκπίπτων καθ' ἡμέραν.

εὑρίσκω τὴν εἰσέλευσιν ἐν σταλαγμοῖς δακρύων.
ὢ παραδόξου χάριτος! ὢ φιλανθρώπου τρόπου!

* * *

Λ 166

44. Πιστεύω εἰς τὴν ἔνσαρκον οἰκονομίαν, Λόγε,
κηρύττω σου τὰ θαύματα καὶ σὲ Θεὸν δοξάζω
τιμῶ τὰ πάθη, τὴν ταφήν, τὴν ἔγερσιν δοξάζω
τὴν ἔνδοξον ἀνάληψιν ὑμνῶ καὶ μεγαλύνω
ἐκδέχομαι καὶ τὴν φρικτὴν δευτέραν παρουσίαν.
ἰδοὺ γὰρ ἥξεις, βασιλεῦ, κριτὴς ἐξ οὐρανόθεν
τοὺς μὲν ἀπάγων πρὸς τὸ φῶς, τοὺς δὲ πυρὶ φλογίζων
κρίνων, εὐθύνων ἅπαντα ἑκάστου τὰ πρακτέα.
σῶσόν με, σῶτερ, σῶσόν με τῆς σῆς μητρὸς πρεσβείαις.
45. Ἤγγικεν ἔφθασε, ψυχή... E 148 (πλ. δ').
46. Οὐδείς μοι τότε βοηθὸς... E 173. (ἦχος βαρύς).
47. Πᾶσα πνοή... (ἦχος α') E 148.
48. Εὐλογητὸς Κύριος ἐκ Σιὼν (ἦχος α') E 148.

Καὶ τοσαῦτα μὲν τὰ εὑρεθέντα εἰς τοὺς Λαυριωτικοὺς κώδικας ἔργα τοῦ μαΐστορος Κουκουζέλη, ὅστις δαπανηθεὶς ὡς λαμπὰς ἐν τῇ ἱερᾷ τέχνῃ καὶ ἀσκητικῶς ἐν ὁσιότητι τὸν βίον διανύσας, κατετάχθη ὑπὸ τῶν Λαυριωτῶν πατέρων μεταξὺ τῶν ἁγίων ἑορταζόμενος τὴν α' Ὀκτωβρίου. Τὴν Ἀκολουθίαν τούτου συνέταξε Διονύσιός τις, προσκυνητὴς τῆς Λαύρας ἐπιγραφόμενος καὶ ἄγνωστος ἀλλαχόθεν. Ἡ ἐν λόγῳ Ἀκολουθία στηρίζεται εἰς τὰ ὑπὸ τῆς «Διηγήσεως» λεγόμενα χωρὶς νὰ συνεισφέρῃ νέον εἰς τὸν βίον τοῦ Κουκουζέλη. Οὐχ ἧττον ἐξαίρεται δι' αὐτῆς τὸ μέγα αὐτοῦ μουσικὸν τάλαντον καὶ ὁ ἐν ἀσκήσει διανυθεὶς ἐν τῇ Λαύρᾳ βίος καὶ ἐλλείψει παντὸς ἄλλου ἐγκωμίου ἂς γίνῃ γνωστὸς ὁ στέφανος τοῦ εὐλαβοῦς τούτου προσκυνητοῦ τῆς Λαύρας, μέχρις οὗ κατορθωθῇ ἡ ἀνέγερσις λαμπροτέρου μνημείου εἰς τὸν μετὰ τὸν Δαμασκηνὸν περιφανέστερον ψάλτην καὶ μελῳδὸν τῆς τοῦ Χριστοῦ ἐκκλησίας.

ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ ΟΣΙΟΥ ΙΩΑΝΝΟΥ ΚΟΥΚΟΥΖΕΛΗ

ΤΟΥ ΕΝ ΤΟΙΣ ΟΡΙΟΙΣ ΤΗΣ ΜΕΓΙΣΤΗΣ ΛΑΥΡΑΣ

ΤΗΣ ΕΝ ΤΩ ΑΘΩ ΑΣΚΗΣΑΝΤΟΣ

(Ψαλλομένη τῇ Α' Ὀκτωβρίου)

Ποίημα Διονυσίου προσκυνητοῦ Λαύρας

Εἰς τὸν Ἑσπερινὸν

Στιχηρά

Ἦχος δ' Ὡς γενναῖον ἐν μάρτυσιν

Τὸ ἡδύφωνον ὄργανον
τὴν κιθάραν τὴν εὔρυθμον
λιγυρὰν κινύραν τε τὴν ἡδύπνοον
τῶν μουσικῶν τὸ ἀγλάϊσμα
5 καὶ μέγαν διδάσκαλον
ἐπαινέσωμεν, πιστοί,
μελιφθόγγοις ἐν ᾄσμασι
χαίροις λέγοντες
μουσικῆς θείας τέμενος καὶ οἶκος
10 ἁρμονίου μελῳδίας,
ὦ Ἰωάννη πατὴρ ἡμῶν.

* * *

Ἐν τῇ γῇ τὸ πολίτευμα
ἐσχηκὼς κατεκόσμησας
ἐκκλησίας ἅπαντα τὰ συστήματα
15 τοῖς μελιρρύτοις σου ᾄσμασι,
θεόφρον πατὴρ ἡμῶν,
οἷς ἀνέμελπες Θεὸν

διανοίας εὐθύτητι
καὶ νῦν ᾤκησας
20 ἔνθα ἦχὸς ἐστὶν ἑορταζόντων
καὶ τὸν Κύριον ὑμνούντων
ἐν νοεροῖς μελῳδήμασι.

* * *

Μουσικῆς τὴν ἀκρότητα
φιλοπόνως κατέλαβες
25 καὶ τὸ ταύτης χρήσιμον ἐθησαύρισας
ἐπιστημόνως ὡς μέλισσα
εἰς δόξαν Θεοῦ ἡμῶν
τοῦ δι' οὗ πᾶν ἀγαθὸν
τοῖς ἀνθρώποις δεδώρηται
30 τὸ δὲ ἄχρηστον
καταλέλοιπας ὄντως ὡς ἐχέφρων
ἐγκοσμούμενος τοῖς τρόποις
δικαιοσύνης, μακάριε.

* * *

Μελῳδῶν τὰ συστήματα
35 κατὰ χρέος ἀθροίσθητε
καὶ κοινὴν πανήγυριν συγκροτήσατε
ἀνευφημοῦντες ἐν ᾄσμασι
τοὺς ὑμῶν ἐξάρχοντας
καὶ ἡγήτορας σεπτοὺς
40 Ἰωάννην τὸν ἔνδοξον
καὶ Γρηγόριον
ὧν τὰ μέλη ὡς μέλι καὶ κηρίον
ἐν τῷ λάρυγγι ἁπάντων
τῶν μελῳδούντων προσγίνεται.

Ἄλλα

Ἦχος πλ. δ'. Χαίροις ἀσκητικῶν

45 Χαίροις τῶν μουσικῶν ὁ κανὼν
τῶν ἀνυμνούντων τὸν Θεὸν ἐντρύφημα
ἐν ᾄσμασι μελιρρύτοις
ἡ θεία λύρα τὸν νοῦν

τῶν προσευχομένων κατατέρπουσα
50 δυὰς ᾀσματίζουσα
ᾠδὰς τὰς τοῦ Πνεύματος
ὦ Κουκουζέλη
Ἰωάννη πατὴρ ἡμῶν
καὶ Γρηγόριε
55 δομεστίκων ὁ ἔξαρχος
νόες οἱ μουσικώτατοι
οἱ λύχνοι οἱ ἄσβεστοι
τῆς μουσικῆς οἱ τὰ μέλη
ἐναρμονίως κοσμήσαντες
60 καὶ νῦν μετ' ἀγγέλων
μελῳδοῦντες θείαν χάριν
ἡμῖν αἰτήσασθε.

* * *

Ἆσμα μελισταγὲς καὶ τερπνὸν
τῇ παναχράντῳ ἐνεγκὼν Θεομήτορι
65 ἀγγέλων μιμήσει, πάτερ,
τῆς εὐλαβείας μισθὸν
ἐκομίσω πάλαι χρυσοῦν νόμισμα
ἐν Λαύρᾳ τοῦ Ἄθωνος,
Ἰωάννη πατὴρ ἡμῶν,
70 ἐν ᾗ χαίρων διήνυσας
τὰ ἐπίπονα
τῆς ἀσκήσεως σκάμματα
ἔνθα καὶ τὸ πολύαθλον
κατάκειται σῶμά σου
75 χάριν βραβεῦον τοῖς πᾶσι
τοῖς σὲ τιμῶσι, μακάριε,
καὶ πόθῳ ὑμνοῦσι
τὴν σεβάσμιον καὶ θείαν
μνήμην σου πάντοτε.

* * *

80 Κόσμου καταλιπὼν τὰ τερπνὰ
ἐν τῇ τοῦ Ἄθωνος μονῇ κατεσκήνωσας
καὶ ταύτης ναῷ τῷ θείῳ
χοροστατῶν εὐλαβῶς

τῶν τὸν Θεὸν αἰνούντων προηγούμενος
85 σαφῶς ἐχρημάτισας
δομεστίκων ἀγλάϊσμα
καὶ τῆς Παρθένου
μελετῶν τὰ ἐγκώμια
ἐμελῴδησας
90 ἐπαξίως, μακάριε,
ἣ καὶ προσδεξαμένη σου
τὸν πόθον τὸν ἔνθεον
ἀντιβραβεύει χρυσῷ σοι
ὡς ἐν ἐκστάσει, Γρηγόριε,
95 ᾗ νῦν ἐκδυσώπει
δωρηθῆναι τοῖς σοῖς δούλοις
πταισμάτων ἄφεσιν.

Ἕ τ ε ρ α

Ἦχος α' Τῶν οὐρανίων ταγμάτων

Τοῦ θείου πνεύματος χάρις
ἡ ἀνεξάντλητος
100 σαφῶς τοῖς χείλεσί σου
ἐξεχύθη, παμμάκαρ·
διὸ ᾀσμάτων ρεῖθρα θεοτερπῶν
ὡς μουσουργέτης πανάριστος
ποταμηδὸν ἐπαφῆκας
105 τὴν τοῦ Χριστοῦ
ἐκκλησίαν καταρδεύοντα.

* * *

Τῆς μουσικῆς ἁρμονίας
τὴν καλλιέπειαν
τῇ τῆς ψυχῆς ἑνώσας
110 εὐλαβεῖ διαθέσει
ᾄσματα καὶ ὕμνους προσῆξας Θεῷ
ὡς θυμίαμα εὔοσμον
καὶ ὡς εὐπρόσδεκτον δῶρον
καὶ ὡς σεπτὸν
115 τῶν σῶν πόνων ἀκροθίνιον

Τῶν σῶν ᾀσμάτων ἡ λύρα
ἡ παναρμόνιος
τοῖς μελῳδοῦσι πᾶσιν
ἀφορμὴ θείων ὕμνων
120 πρόκειται, παμμάκαρ, ἐν ᾗ τὰ αὐτῶν
προσεφαρμόζοντες ἄριστα
μέλη δοξάζουσι πάντοτε
ἐμμελῶς
τὸν δοξάσαντά σε Κύριον.

Ἰ δ ι ό μ ε λ α

Ἦχος πλ. β'

125 Τῶν μουσικῶν τὴν καλλονὴν
τῶν μελῳδῶν τὸ κλέος
τὴν βρύσιν τῶν ᾀσμάτων
καὶ μουσικῆς τὴν πηγὴν τὴν μελίρρυτον
συνελθόντες, ὦ φιλέορτοι,
130 ᾀσματικοῖς ἐγκωμίοις
καταστέψωμεν λέγοντες·
χαίροις τῶν θεσπεσίων ᾠδῶν κιθάρα λιγυρά,
Ἰωάννη πατὴρ ἡμῶν·
χαίροις τὸ τερπνότατον ἄκουσμα
135 τῆς θείας ἐκκλησίας
καὶ ἐντρύφημα ἥδιστον·
χαίροις ἐναρμόνιος λύρα
καὶ εὔρυθμος θεοτερπῶν ᾀσμάτων.
ἀλλ' ὦ πάτερ τρισόλβιε,
140 μὴ ἐλλείπῃς πρεσβεύειν ὑπὲρ ἡμῶν πρὸς Κύριον
τῶν ἐκ πόθου τελούντων
τὸ ἱερόν σου μνημόσυνον.

* * *

Ἦχος δ'

Τὸ ἐμπιστευθέν σοι τάλαντον
τῆς μουσικῆς καλλιεπείας πλεονάσας, θεόληπτε,
145 πάντα σου τὸν βίον μελέτην
θεοπρεπῶν ᾀσμάτων πεποίηκας·

διὸ τοῖς ἀμιμήτοις σου ἀριστουργήμασιν
οἱ τὸν Θεὸν αἰνοῦντες καλλωπιζόμενοι
τὴν σεπτὴν ἐκκλησίαν
150 μελῳδικῶς καθηδύνοντες
μετ' εὐφημίας γεραίρουσι
τὴν σὴν σεβάσμιον μνήμην
ἐν ᾗ δυσώπησον Χριστὸν τὸν Θεὸν
τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

* * *

Ἦχος πλ. δ'

155 Δαυϊτικῶς τὴν τῶν ᾀσμάτων σου
πνευματικὴν κινύραν
ἀνακρουόμενος, ὅσιε πάτερ,
παραρριπτεῖσθαι μᾶλλον
ἐν τῷ οἴκῳ τοῦ Θεοῦ ᾑρετίσω
160 ἢ κατοικεῖν ἐν σκηνώμασι τῆς ματαιότητος
καὶ Μωσαϊκῶς τὴν οὐράνιον Ἱερουσαλὴμ ἐκδεχόμενος
προείλου συγκακουχεῖσθαι
τοῖς τῷ Θεῷ δουλεύουσιν
ἢ πρόσκαιρον ἔχειν
165 τῶν τοῦ βίου ἡδονῶν τὴν ἀπόλαυσιν·
διὸ γνησίως δουλεύσας τῷ Θεῷ
καὶ τὰ τῶν πόνων ἔπαθλα ἐν οὐρανοῖς ἀπολαβών,
πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

* * *

Ἦχος β'

Ἐν τῷ σκηνώματι τοῦ Κυρίου σου
170 καὶ ἐν ὄρει ἁγίῳ αὐτοῦ κατεσκήνωσας,
Ἰωάννη παμμακάριστε·
ἀμέμπτως γὰρ ἐν βίῳ περιεπάτησας
καὶ δικαιοσύνην ἐξασκήσας
τῷ κρείττονι τὸ χεῖρον καθυπέταξας·
175 διὸ παρρησίαν πρὸς Θεὸν κεκτημένος
μὴ ἀποκάμῃς ὑπὲρ ἡμῶν αὐτῷ πρεσβεύειν
τοῦ οἰκτιρῆσαι καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν Ὄρθρον

Κάθισμα

Ἦχος γ'. Τὴν ὡραιότητα

Τοῖς μελιρρύτοις σου
ᾄσμασιν, ὅσιε,
180 ὑπερεφαίδρυνας
πιστῶν τὸ σύστημα
ἐν ψαλμῳδίαις καὶ εὐχαῖς
καὶ θείαις δοξολογίαις.
μέλι ἀποστάζει γὰρ
185 σῶν χειλέων ἐν χάριτι
θέλγον τῇ γλυκύτητι
τὴν ψυχὴν καὶ διάνοιαν
τῶν εἰλικρινεῖ διαθέσει
ἐγκειμένων τοῖς σοῖς πονήμασιν.

*
* *

Ἄλλο· ὅμοιον

190 Τὰ ἐπουράνια
κάλλη, μακάριε,
ἐνοπτριζόμενος
ἐφέσει κρείττονι
ὅλον τὸν πόθον πρὸς Θεὸν
195 εἰλικρινῶς ἀνέτεινας
καὶ καταφλεγόμενος
τῷ αὐτοῦ θείῳ ἔρωτι
πᾶσαν ἀπεμάρανας
τῶν ματαίων τὴν ἔφεσιν
200 καὶ νῦν τῷ ποθουμένῳ ἑνούμενος
μὴ ἐπιλάθῃ τῶν τιμώντων σε.

*
* *

Ἄλλο

Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ

Ἀπεριστρόφῳ λογισμῷ διανύσας

τὴν στενωτάτην τῆς ἀσκήσεως τρίβον
εἰς παραδείσου πλάτος κατεσκήνωσας
205 ὕμνον τὸν τρισάγιον
τῷ Θεῷ σὺν ἀγγέλοις
μέλπων, χαριτώνυμε,
ἀκορέστῳ ἐφέσει·
ᾧ παρεστὼς μνημόνευε ἡμῶν
210 τῶν μεμνημένων σε πόθῳ, μακάριε.

*
* *

Ἄλλο

Ἦχος α'. Τὸν τάφον σου σωτὴρ

Ἡδύφωνος αὐλὸς
μεγαλόφωνος σάλπιγξ
κιθάρα μελουργὸς
λιγυρὰ θεία λύρα
215 κινύρα παναρμόνιος
μουσικώτατον ὄργανον
ἐμπνεόμενον
τοῦ Παρακλήτου ταῖς αὔραις
ἀναδέδειξαι,
220 ὦ Ἰωάννη, καὶ θέλγεις
ἡμῶν τὰ νοήματα.

Ὁ Κανὼν

οὗ ἡ ἀκροστιχὶς

«Ὕμνοις τιμάσθω εὐλαβὴς Κουκουζέλης»

Ποίημα Διονυσίου προσκυνητοῦ Λαύρας

Ἦχος πλ. δ'. Ἄσωμεν τῷ Κυρίῳ

Ὠδὴ α'

Ὕμνον τῷ φωτοδότῃ,
πάτερ, ἐν τῇ μνήμῃ σου προσάγοντες
φωτισμὸν ἐξαιτοῦμεν
225 δωρηθῆναι ἡμῖν ταῖς πρεσβείαις σου.

Μόνον ἐπιποθήσας
τὰ μηδόλως, πάτερ, διαρρέοντα
κατεφρόνησας κόσμου
τῶν ἡδέων τελείῳ φρονήματι.

* * *

230 Νόμοις τοῖς τοῦ Δεσπότου,
πάτερ, πειθαρχῶν τὸν ἐν τοῖς μέλεσι
στρατευόμενον νόμον
ὡς ἐχέφρων τελείως ἐνίκησας.

* * *

Ὅλην μου τὴν οὐσίαν
235 διὰ σοῦ, Παρθένε, ἐκαινούργησεν
ὁ ὑπέρθεος Λόγος
συντριβεῖσαν κακίᾳ τοῦ ὄφεως.

* * *

Ὠδὴ β'. Οὐρανίας ἁψῖδος

Ἰσχυρότατον ὅπλον
τὸ τοῦ σταυροῦ τρόπαιον
240 ἐν χερσὶ κατέχων ἀνδρείως,
πάτερ, ἐχώρησας
πρὸς νοητὴν συμπλοκὴν
τῆς νοερᾶς σατραπείας,
ἥν περ καὶ κατέρραξας
245 σθένει τοῦ Πνεύματος.

* * *

Σταθερᾷ διανοίᾳ
καὶ λογισμῷ σώφρονι
σάρκα ἀπηρνήσω καὶ κόσμον
καὶ κοσμοκράτορα
250 καὶ ἀνυψώσας τὸν νοῦν
πρὸς μυστικὰς θεωρίας
σκεῦος ἐχρημάτισας
τοῦ θείου Πνεύματος.

* * *

Τὸ τοῦ Ἄθωνος ὄρος

255 καταλαβεῖν ἔσπευσας
τῆς ἁγιωσύνης τῇ κλήσει
τὸ σεμνυνόμενον
ἔνθα σπουδάζων λαθεῖν
κενοδοξίας τὸν ὄφιν
260 κτείνας ταπεινώσεως
τρόπαιον ἤγειρας.

* * *

Ἱερὰς ἀναβάσεις
ἐν τῇ ψυχῇ θέμενος
ὕμνους ἐμελῴδεις εἰς δόξαν
265 τοῦ παντοκράτορος
ἐν κατανύξει ψυχῆς
καὶ τῆς πανάγνου Παρθένου
ἥ περ δεξαμένη σου
τὸν πόθον ἤμειψε.

* * *

Ὠδὴ γ'. Εἰσακήκοα Κύριε

270 Μουσικὸν θεῖον ὄργανον,
πάτερ, χρηματίσας καὶ ἐναρμόνιον
πρακτικῶς μέλη θεόφθογγα
τοῖς πιστοῖς ἀφθόνως καταλέλοιπας.

* * *

Ἀνυμνῶν τὸν φιλάνθρωπον
275 ἐν ἀγαλλιάσει ψυχῆς ἐφαίδρυνας
μελιρρύτοις μελῳδήμασιν
ἐκκλησίας, πάτερ, τὰ συστήματα.

* * *

Συμμαχίᾳ τοῦ Πνεύματος
πᾶσαν ἀρετῆς ἰδέαν ἐξήσκησας,
280 θεοφόρε χαριτώνυμε,
καὶ ἐν γῇ πραέων κατεσκήνωσας.

* * *

Θεοτόκε πανύμνητε,

τῶν σὲ γεραιρόντων τὸ ἀγαλλίαμα
γενοῦ σκέπη καὶ βοήθεια
285 τῶν ἐν περιστάσει καὶ ἐν θλίψεσιν.

*
* *

Ὠδὴ δ'. Ἵνα τί με ἀπώσω

Ὡς θεόφθογγος λύρα
λιγυροῖς ἐν ᾄσμασι τὰ θεῖα λόγια
μελῳδῶν, παμμάκαρ,
διεγείρεις πρὸς ἔνθεον ἔρωτα
290 τοὺς ἐν ψαλμῳδίαις
θεοφιλῶς ὑμνολογοῦντας
τὸν Θεὸν καὶ παννύχοις ἐν στάσεσιν.

*
* *

Ἐσταυρώθης τῷ κόσμῳ
καὶ ὁ κόσμος αὖθις δέ σοι συνεσταύρωται
295 τὸν σταυρὸν ἐπ' ὤμων
ἀκλινεῖ διαθέσει ἀράμενος
καὶ ἀνεπιστρόφως
τὴν τῆς ζωῆς ὁδεύσας τρίβον
πρὸς σκηνὰς οὐρανίους κατῴκησας.

*
* *

300 Ὑλικῆς προσπαθείας
πᾶσαν ὑπεξέφυγες τὴν ματαιότητα
ὁλοσχερεῖ πόθῳ
τοῦ Χριστοῦ τὴν πτωχείαν ἑλόμενος
διὸ βασιλεία
305 τῶν οὐρανῶν σε ὑπεδέχθη
ὡς ἡ ἐπαγγελία, μακάριε.

*
* *

Λαλιαὶ θεηγόρων
ἄνωθεν τὰ σύμβολα τὰ σὰ προήγγειλαν
ὁ δὲ σὸς θεράπων
310 ᾀσματίζων συντόνως ἀνέμελπε

τὰ σὰ μεγαλεῖα
ὃν καὶ νομίσματι χρυσέῳ
ἐπιστᾶσα, Θεόνυμφε, ἤμειψας.

*
* *

Ὠδὴ ε'. Ἄβυσσος ἁμαρτιῶν

Ἄσμασι μελῳδικοῖς
315 καθηδύνων τῶν πιστῶν τὰς χορείας
ἐν προσευχαῖς, παμμάκαρ,
καὶ παννύχοις ἐν στάσεσιν
ἐπαλείφεις εὐφυῶς
ψυχῆς τὸ πρόθυμον καὶ κουφίζεις
320 τῆς ἀγρυπνίας τὸ ἐπίπονον.

*
* *

Βίον τὸν ἀσκητικὸν
ἀρετῆς περιουσίᾳ προκρίνας
τῶν χαμαιζήλων, πάτερ,
ἡδονῶν κατεφρόνησας
325 καὶ τὸν Ἄθω ἐπιβὰς
τῇ τούτου ᾤκησας θείᾳ Λαύρᾳ
ᾗ καὶ τὸ σῶμά σου κατάκειται.

*
* *

Ἤντλησας ὡς ἐκ πηγῆς
τὴν τοῦ Πνεύματος, πανόλβιε, χάριν
330 ἐν κατανύξει μέλπων
τὰ θεόφθεγκτα λόγια
καὶ ὡς ἄγγελος ἀεὶ
ἐδοξολόγεις Θεὸν τῶν ὅλων
τῷ τρισαγίῳ μελῳδήματι.

*
* *

335 Σύμφωνον ὡς ἐφικτὸν
ταῖς ἀγγέλων ἱεραῖς ὑμνῳδίαις
τῇ παναχράντῳ κόρῃ

μελῳδῶν μέλος ἔνθεον
διαθέσει εὐλαβεῖ
340 ταύτην κατεῖδες ὡς ἐν ἐκστάσει
ἀντιβραβεύουσαν τὸν πόθον σου.

*
* *

Κοντάκιον

Ἦχος β'. Τὰ ἄνω ζητῶν

Τῷ πόθῳ Χριστοῦ
τρωθείς, χαριτώνυμε,
ὑπῆλθες σπουδῇ
345 ἀσκήσεως τὸ στάδιον
καὶ σχολάζων ἐν ὕμνοις
καὶ ᾀσμάτων ᾠδαῖς, νῦν ἀπείληφας
τὰ ἔπαθλα ἐν οὐρανοῖς
πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

Ὁ οἶκος

350 Τὸν τοῦ Κυρίου ἐλαφρότατον ζυγὸν
ἀναλαβών, χαριτώνυμε Ἰωάννη,
εἰς οὐδὲν ἐλογίσω τὰ τοῦ κόσμου τερπνὰ
ὑποκύψας δὲ μάλα προθύμως
τῷ τῆς ὑπακοῆς ζυγῷ
355 ἐν τῇ τοῦ Ἄθωνος σεβασμίᾳ Λαύρᾳ
καὶ τῷ Θεῷ μόνος γινωσκόμενος
τῆς τῶν ἀλόγων θρεμμάτων νομῆς ἐπιστήμονα
σαυτὸν οἰκονομικῶς προτέθηκας·
ἀλλ' ὁ ἐπαγγειλάμενος ἐν τῷ φανερῷ
360 ἀντιβραβεύειν τοὺς ἐν κρυπτῷ αὐτῷ δουλεύοντας
κήρυκας τῶν κατὰ σὲ
τὰ ἄλογα ζῷα ἐναπέφηνε
θάμβει συσχεθέντα
καὶ πρὸς σὲ ἀκλινῶς ἀτενίζοντα
365 ἐν τῷ ψάλλειν σε μέλος ἐναρμόνιον.
διὸ ἐν τάξει τῶν αἰνούντων
τὸν Κύριον προχειρισθεὶς
καὶ θεαρέστως βιώσας

πρὸς οὐρανὸν μεταβέβηκας
370 πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

*
* *

Ὠδὴ ϛ'. Παῖδες Ἑβραίων ἐν καμίνῳ

Κόσμος ἐδείχθης ἐκκλησίας
μελιρρύτοις σου πονήμασι, τρισμάκαρ,
ἣ καὶ νῦν τοῖς πιστοῖς
τὴν τούτων μελῳδίαν
375 προτιθεμένη ᾄσματα
τὸν δοτῆρα ἀναπέμπει.

*
* *

Ὅλος μετάρσιος ἐγένου
ὅλος ἔνθους τῷ Θεῷ συνηνωμένος
μελῳδῶν εἰς ἀεὶ
380 τὰ θεῖα μεγαλεῖα
ἀναβοῶν, θεσπέσιε,
ὁ Θεὸς εὐλογητὸς εἶ.

*
* *

Ὕλην τὴν κάτω φθειρομένην
ἐβδελύξω ὥσπερ σκύβαλα, θεόφρον,
385 καὶ ὑψώσας τὸν νοῦν
πρὸς οὐρανὸν ἐβόας
εὐλογητὸς εἶ Κύριε
ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

*
* *

Κοίμισον πάντα τοῦ νοός μου
390 τὰ ἰνδάλματα καὶ πάθη, Θεοτόκε,
ἵν' ἐν γαλήνῃ ψυχῆς
τὸν ὕμνον σοι προσφέρω
ἀναβοῶν τὸ χαῖρέ σοι
μετὰ τοῦ ἀρχαγγέλου.

Ὠδὴ ζ'. Ἑπταπλασίως κάμινον

395 Ὀλβιωτάτως ὥδευσας
τὴν ὁδὸν τὴν ἀπάγουσαν
ἐν τοῖς οὐρανοῖς
τὴν τεθλιμμένην, ὅσιε,
σχολάζων ἐν δάκρυσι
400 καὶ προσευχαῖς καὶ στάσεσιν
ἀνυμνολογῶν
τὸν λυτρωτὴν καὶ Δεσπότην
οἱ παῖδες εὐλογεῖτε
ἱερεῖς ἀνυμνεῖτε
λαὸς ὑπερυψοῦτε
405 εἰς πάντας τοὺς αἰῶνας.

*
* *

Ὑψοποιὸς ταπείνωσις
προηγήθη σοι ἄριστα
τῇ τῶν ἀρετῶν
καταβληθείσῃ κλίμακι
410 ἐν ᾗ ἐρειδόμενος
λαθεῖν βιῶσαι ἔσπευσας
ἀλλ' ὁ παντεπόπτης
φανερόν σε ποιεῖται
διὰ τῆς μελῳδίας,
415 ἢ καὶ θρέμματα ταῦτα
διήγειρεν εἰς θάμβος,
θεόφρον Ἰωάννη.

*
* *

Ζῆν ἐν Χριστῷ αἱρούμενος
τῶν παθῶν ἀπενέκρωσας
420 τὰς ἐπαναστάσεις
πόνοις τῆς ἀσκήσεως
καὶ νῦν μεταβέβηκας
ἐν ἀκυμάντῳ, πάτερ, ζωῇ
πᾶσι συγχορεύων
425 τῶν ἁγίων τοῖς δήμοις
καὶ μέλπων ἀνενδότως

ἱερεῖς εὐλογεῖτε
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

*
* *

430 Ἐν προσευχαῖς τὸ ἄγρυπνον
ἐν νηστείαις τὸ εὔτονον
καὶ ἐν πειρασμοῖς
τὸ καρτερὸν κτησάμενος
γνησίως ἐπόθησας
435 ἐν τῷ ναῷ οἰκεῖν τοῦ Θεοῦ
καὶ τῆς παναχράντου
παναμώμου Παρθένου
ἧς ψάλλων ἀνενδότως
τὰ σεπτὰ μεγαλεῖα
440 τὸ «χαῖρε» ἀνεβόας
μετὰ τοῦ ἀρχαγγέλου.

*
* *

Εὐλογημένη πάναγνε,
τῆς ψυχῆς μου τὰ τραύματα
καὶ τῆς ἁμαρτίας
445 τὰς οὐλὰς ἐξάλειψον
Θεὸν ἡ κυήσασα
τὸν ἐπὶ πάντων, κόρη ἁγνή,
ἐκ παρθενικῆς
ἀπειρογάμου νηδύος
450 ὃν παῖδες εὐλογοῦσιν
ἱερεῖς ἀνυμνοῦσι
λαοὶ ὑπερυψοῦσιν
εἰς πάντας τοὺς αἰῶνας.

*
* *

Ὠδὴ η'. Ἐξέστη ἐπὶ τούτῳ

Λιμένι προσωρμίσθης τῷ γαληνῷ
455 καὶ ἁγίοις χοροῖς συνηρίθμησαι

ἐν οὐρανοῖς
ἔνθα τῶν ἀγγέλων αἱ νοεραὶ
ταξιαρχίαι μέλπουσιν
αἶνον τὸν τρισάγιον τῷ Θεῷ
460 μεθ' ὧν ἀδιαλείπτως
μνημόνευε, τρισμάκαρ,
ἡμῶν τῶν πόθῳ μεμνημένων σου.

*
* *

Ἡμέραν ἑορτάσιμον ἄγει νῦν
ἡ ἐν Ἄθωνι Λαύρα γεραίρουσα
465 τὴν εὐκλεῆ
μνήμην, χαριτώνυμε μελῳδέ,
ἐν κόλποις γὰρ κατέχουσα
τὴν σεπτήν σου κάραν ὡς θησαυρὸν
ἀδάπανον δοξάζει
470 τὸν σὲ ἐν ἀληθείᾳ
τῇ ἁγιότητι δοξάσαντα.

*
* *

Συνήφθης τῶν ἀγγέλων ταῖς στρατιαῖς
πολιτείαν σαφῶς τὴν ἰσάγγελον
καὶ ἀγωγήν,
475 πάτερ, ὡς ζηλώσας ἐπὶ τῆς γῆς
καὶ νῦν φωτὸς τρανώτερον
θείου ἐμφορούμενος ἐκτενῶς
μὴ παύσῃ ἱκετεύων
τὸν μόνον ζωοδότην
480 ὑπὲρ τῶν πίστει εὐφημούντων σε.

*
* *

Συνόμιλος ὁσίων, δυὰς σεπτή,
μελῳδῶν ξυνωρὶς ἡ θεόληπτος
τὰ μουσικὰ
ὄργανα ᾀσμάτων θεοπρεπῶν
485 κιθάραι αἱ μελίρρυτοι
ὕμνοις εὐφημείσθωσαν ἱεροῖς

ὁ θεῖος Ἰωάννης
καὶ Γρηγόριος ἅμα
Ἀθωνίτιδος Λαύρας τὸ καύχημα.

*
* *

490 Δουλείας με ἀπάλλαξον τῶν παθῶν
τὸν σωτῆρα Χριστὸν ἡ κυήσασα
καὶ σκοτασμοῦ
τῶν ἁμαρτιῶν μου ὡς ἀγαθή·
ἐν σκότει γὰρ κατάκειμαι
495 τῶν παραπτωμάτων ἐλεεινῶς
καὶ πλὴν σοῦ προστασίαν
βεβαίαν καὶ ἐλπίδα
ἄλλην οὐ κέκτημαι, Θεόνυμφε.

Ἐξαποστειλάριον

Ἐν πνεύματι τῷ ἱερῷ

Ἐν ὕμνοις καὶ δεήσεσιν
500 ἀνενδότοις σχολάζων
καὶ πόνοις τῆς ἀσκήσεως
κατατρύχων τὸ σῶμα
τὸ χεῖρον καθυπέταξας
νουνεχῶς τῷ κρείττονι
505 καὶ ἔλαμψας, θεοφόρε,
τῷ χορῷ τῶν αἰνούντων
τὸν Θεὸν διηνεκῶς
ὡς ἥλιος σελασφόρος.

*
* *

Θεοτοκίον: ὅμοιον

Τοῦ ὑπὲρ νοῦν σου τόκου
510 τὸ παράδοξον θαῦμα
ἐκπλήττει πᾶσαν ἔννοιαν
καὶ βροτῶν και ἀγγέλων.

παρθένος οὖσα τέτοκας
καὶ παρθένος ἔμεινας
ὡς πρὸ τοῦ τόκου, Παρθένε,
ὢ φρικτοῦ μυστηρίου!
ὢ λοχείας θαυμαστῆς!
ὢ τοκετοῦ παραδόξου!

† Ὁ πρ. Λεοντοπόλεως ΣΩΦΡΟΝΙΟΣ ΕΥΣΤΡΑΤΙΑΔΗΣ

Ἐν Παρισίοις, κατὰ Μάρτιον τοῦ 1938.

ΤΑ ΚΑΤΑ ΤΗΝ ΓΕΝΝΗΣΙΝ ΚΑΙ ΤΗΝ ΒΑΠΤΙΣΙΝ ΕΘΙΜΑ ΤΩΝ ΒΥΖΑΝΤΙΝΩΝ

Α΄

Η ΓΕΝΝΗΣΙΣ

Χαρὰν καὶ ὑπερηφάνειαν πάσης Βυζαντινῆς οἰκογενείας ἀπετέλει ἡ ἀπόκτησις τέκνων, τὰ ὁποῖα, ὄντα εἰκόνες τῶν γεννησάντων, συνέχιζον τὴν οἰκογενειακὴν σειράν, οἱονεὶ ἀνιστάντα τοὺς ἀποθανόντας προγόνους. Τὴν ἀντίληψιν ταύτην σαφέστατα διετύπωσεν ὁ Σελευκείας Βασίλειος γράψας[1] «Ἡ γὰρ τῶν ἐξ ἡμῶν φυομένων παίδων διαδοχὴ τοῦτό ἐστι, τοῦτο βούλεται, τῆς τῶν σπειράντων καὶ φυσάντων εἰκόνος ἐν τοῖς παισὶν αὖθις ἀνανεουμένης ἀεὶ καὶ τρόπον τινὰ πάλιν ἀνισταμένης ὡς δοκεῖν ἐκείνους τοὺς πάλαι κατοιχομένους ἐν τοῖς ζῶσί τε πάλιν καὶ περιοῦσιν ἀνθρώποις ὁρᾶν»[2], γνωστὸν δ' ἦτο καὶ τὸ τοῦ παροιμιαστοῦ «ὁ γὰρ γεννήσας υἱὸν οὐκ ἀπέθανεν». Ἐντεῦθεν μία τῶν θερμοτέρων εὐχῶν πρὸς τοὺς νυμφευομένους ἦτο νὰ ἀποκτήσωσι τέκνα τέκνων[3]. Ὡς δ' ἡ ἀπόκτησις κληρονόμου ἐπλήρου χαρᾶς τοὺς γονεῖς, οὕτως ἀντιστρόφως ἡ ἀτεκνία βαθυτάτην τοῖς ἐπροξένει λύπην[4], θεωρουμένη μάλιστα καὶ ὡς ἁμαρτιῶν ἀποτέλεσμα. «Ὅταν ἴδης, θεοσεβεῖς ὄντας, λέγει ὁ

---

[1] Migne, P.G. 85.492.

Πβ. καὶ «ἐπόθουν καλοῦ τοιούτου βλαστοῦ καρποὺς ἰδεῖν, ὅπως καὶ ὡς εἰκόνας τοῦ υἱοῦ τὰ ἔγγονα βλέποντες τὸ πολὺ τοῦ πρὸς αὐτὸν φίλτρου διαναπνέωσι.» Βίος τοῦ ὁσίου Ἀβραμίου, Migne, P.G. 115.45.

[2] Νῦν οἱ μεταβαίνοντες, ἵνα βαπτίσωσι παιδίον, εἰς τὸ ὁποῖον πρόκειται νὰ δώσωσι τὸ ὄνομα ἀποθανόντος συγγενοῦς, λέγουσι· πάμε ν' ἀναστήσωμε τὸν τάδε προσθέτοντες τοῦ ἀποθανόντος τὸ ὄνομα.

[3] Εἰς πολλὰ μέρη σήμερον συνήθης εὐχὴ πρὸς τοὺς νεονύμφους εἶναι· «καὶ 'ς τὰ γεννητούρια».

[4] Τῷ τῆς ἀπαιδίας πυρὶ διεπίμπρατο καρποῦ κοιλίας ἐφιεμένη, Συμεὼν Μεταφράστης, Migne, P.G. 114. 597. Τὸν Διγενῆ καὶ τὴν σύζυγόν του κατὰ τὸ ἔπος

ἓν μόνον τούτων τάς ψυχὰς ἐλύπει καθ' ἑκάστην
ἀτεκνίας ἡ ἄσβεστος καὶ δεινοτάτη φλόγα

Βασιλείου Διγενοῦς Ἀκρίτου λόγοι λόγ. 7. 180 (Legrand, Bibliothèque Grecque vulgaire τόμ. 6).

Χρυσόστομος[1], καὶ εὐλαβείας ἐπιμελουμένους, ἄπαιδας, μὴ νομίσῃς, ἁμαρτιῶν εἶναι ἔργα», γνώμη, ἣν καὶ οἱ νεώτεροι Ἕλληνες ἔχουσι, παρ᾽ οἷς περιφέρεται καὶ ἡ παροιμία «ἄκληρος, ἄθεος» [2].

Ἡ στεῖρα κατὰ τοὺς βυζαντινοὺς χρόνους ὄχι μόνον ἐθεωρεῖτο ἄδοξος καὶ ἐστερεῖτο παρρησίας ἀπέναντι τοῦ ἀνδρός [3], ἀλλὰ πολλάκις ἀντιμετώπιζε διὰ τὸν λόγον τοῦτον καὶ σκαιὰν τὴν συμπεριφορὰν αὐτοῦ [4], ἐν τέλει δὲ καὶ τὰς ὕβρεις του, ἀγνοοῦντος, κατὰ τὸν Χρυσόστομον, ὅτι «Τὸ τεκεῖν ἄνωθεν ἔχει τὴν ἀρχήν» [5]. Τὴν μειονεκτικὴν αὐτὴν θέσιν θέλουσα ν᾽ ἀποφύγῃ ἡ Βυζαντινή, κατέφευγεν εἰς τὴν χρῆσιν συλληπτικῶν φαρμάκων, καὶ τοιαῦτα ἦσαν τὸ αἷμα λαγωοῦ, τὸ στέαρ χηνὸς ἢ ἡ τερεβινθίνη [6], τὰ ὁποῖα τῆς ἐπρομήθευον μαῖαι ἢ γραῖαι περὶ τὰ τοιαῦτα ἀσχολούμεναι, αἵτινες ὅμως ἐνίοτε ἀντὶ καλοῦ τὸν θάνατον τῆς λαμβανούσης τὰ φάρμακα προὐκάλουν, ὁπότε ὑπέκειντο εἰς τὸν περὶ δολοφόνων νόμον, ἐξοριζόμεναι [7]. Ἂν δὲ τὰ φάρμακα ταῦτα δὲν ἐνήργουν, αἱ Βυζαντιναὶ κατέφευγον καὶ εἰς μαγγανείας καὶ γοητείας [8], ψηφῖδας καὶ φυλακτήρια ἀπὸ τοῦ σώματος αὐτῶν ἀποκρεμῶσαι [9].

Καὶ αὐτὸς μὲν ἦτο ὁ κανών, τοῦ πράγματος ὅμως ὑπῆρχε καὶ ἡ ἀντίθετος ὄψις, εὑρίσκοντο δῆλα δὴ καὶ γυναῖκες, αἵτινες διὰ πτωχείαν ἢ μῦσος πρὸς τὸν ἄνδρα, ἢ δι᾽ ἐπιτήδευσιν ὡραιότητος ἢ διὰ πορνείαν, ἐνίοτε δὲ καὶ διὰ φυλαργυρίαν τῶν συζύγων, μετεχειρίζοντο ἢ τὴν σύλ-

[1] Migne, P.G. 54. 445.

[2] Ν. Πολίτου, Παροιμίαι 1.385. Ἐν παλαιοτέροις χρόνοις ἐν Γορτυνίᾳ λέγεται ὅτι οἱ ἱερεῖς οὐδὲ τὴν προσφορὰν τῶν ἀκλήρων ἐδέχοντο εἰς λειτουργίαν. Βλ. Λαογραφίας τόμ. 5. 408.

[3] Συμεὼν Μεταφράστης, Migne, P.G. 114. 597.

[4] Χρυσόστομος, Migne, P.G. 54. 653, Βίος τοῦ μακαρίου Αὐξεντίου, Migne, P.G. 114. 1433.

[5] Migne, P.G. 54. 639.

[6] Μιχαὴλ Ψελλοῦ, Τῷ μεγάλῳ δρουγγαρίῳ Κωνσταντίνῳ (Κ. Σάθα, Μεσ. Βιβλ. 5. 327. 328.) Καὶ νῦν ἐν Αἰτωλίᾳ πιστεύουσιν ὅτι, ὅταν ἄκληροι φάγωσι ἄρρενα λαγωὸν ἔγκυον (διότι πιστεύουσιν ὅτι καὶ αὐτὸς καθίσταται ἔγκυος) τότε ἀποκτῶσι τέκνα. Βλ. Δ. Λουκοπούλου, Σύμμεικτα λαογραφικὰ ἐξ Αἰτωλίας, Λαογραφίας 12. 60. Ἰδ. καὶ ὅσα διὰ σημερινὰ δημώδη συλληπτικὰ φάρμακα γράφει ἡ Ἐλπινίκη Σταμούλη-Σαραντῆ ἐν Θρακικῶν τόμ. 8. 376. 377).

[7] Πανδέκται 48. 8. 3. 3, Σύνοψις Φ. 2. 1 (Zach. v. Lingenthal, JGR. 5. 665), Ράλλη-Ποτλῆ, Σύνταγμα τῶν θείων καὶ ἱερῶν κανόνων 2.519.

[8] Χρυσόστομος, Migne, P.G. 51. 369.

[9] Μιχαὴλ Ψελλοῦ, Χρονογραφία σ. 32 (ἔκδ. Σάθα). Ἐν Νομοκάνονι Ἰβήρων τοῦ ΙΖ' αἰῶνος ἀναφέρονται στεῖραι, αἱ ὁποῖαι «τρώγουσι κάποια βότανα μαντεμένα ὡς διὰ νὰ κάμωσι παιδία» Π. Πολίτου, Ἓν κεφάλαιον Νομοκάνονος, Λαογραφίας, 3. 386.

ληψιν κωλύοντα φάρμακα, ἀτόκια, καὶ τοιαῦτα ἦσαν καθάρσια ἢ ἐγκέφαλος βατράχου ἢ στέαρ λεόντειον [1] ἢ βοτάνη, δι᾽ ἧς κατὰ μῆνα ἐβοτάνιζον τὴν μήτραν των [2] ἢ χυλωθεὶς καὶ πρὸς πόσιν δοθεὶς καρπὸς ἰτέας [3], τινὲς μάλιστα, ἵνα μὴ συλλαβωσιν, ἐξήρτων ἀπὸ τοῦ λαιμοῦ των μήτραν ἡμιόνου, ἥτις, ὡς γνωστόν, δὲν γεννᾷ, καὶ ῥύπον ἐκ τῶν ὤτων αὐτῆς [4].

Πλὴν τῶν ἀτοκίων δὲ μετεχειρίζοντο καὶ φθόρια, δηλητήρια δῆλα δὴ φάρμακα, ἵνα φθείρωσι τὸ συλληφθέν [5], οὐδ᾽ ἀπέφευγον νὰ πιέζωσι τὴν κοιλίαν αὐτῶν ἢ νὰ ἐπιθέτωσιν ἐπ᾽ αὐτῆς βάρη [6]. Εἰς τὸ ἔργον τοῦτο βοηθοὺς εὕρισκον τοὺς φαρμακοποιούς, *πιγμενταρίους*, παρέχοντας κατὰ τὸν Βαλσαμῶνα, σαλαμάνδραν ἢ ἀκόνιτον ἢ πιτυοκάμπτην ἢ βούβρωστιν ἢ μανδραγόραν ἢ κανθαρίδας [7] ἢ καὶ μαίας, αἵτινες, ἀντὶ μισθοῦ, ὑπηρέτουν εἰς τὸ ἀνόσιον ἔργον [8]. Διὰ τοῦτο ὁ Σωρανὸς [9] ἤθελε τὴν μαῖαν «ἀφιλάργυρον εἶναι ὡς μὴ διὰ μισθὸν κακῶς δοῦναι φθόριον».

Κατὰ τοιούτων ἐνεργειῶν, αἵτινες ἀντέβαινον εἰς τὴν κοινωνικὴν καὶ Χριστιανικὴν παράδοσιν ἐλάμβανον μέτρα οἵ τε πολιτικοὶ καὶ ἐκκλησιαστικοὶ νόμοι. Οὕτως ὁ πολιτικὸς νόμος ὥριζεν ἵνα ἡ ἐπιφέρουσα καθ᾽ ἑαυτῆς βίαν ἐπὶ σκοπῷ ἐκτρώσεως [10] καταδικάζεται εἰς ἐξορίαν [11], τυ-

[1] Μιχαὴλ Ψελλοῦ, Τῷ μεγάλῳ δρουγγαρίῳ Κωνσταντίνῳ (Κ. Σάθα, Μεσ. βιβλ. 5. 327-328). Συνταγὰς φαρμάκων πρὸς κώλυσιν τῆς συλλήψεως ἢ καὶ πρὸς φθορὰν τοῦ ἐμβρύου βλέπε παρὰ Σωρανῷ, Περὶ γυναικείων σ. 230.9 ἑξ. (Rose).

[2] Ἰωάννης Νηστευτής, Migne, P.G. 88. 1928, Βυζαντινὰ Χρονικὰ Πετρουπόλεως 8.401. Κατὰ τοὺς μεταγενεστέρους Νομοκάνονας ὁ ἐξομολόγος ἔπρεπε νὰ ἐρωτᾷ τὴν πρὸς ἐξομολόγησιν προσερχομένην γυναῖκα «ἐὰν βαστάζῃ βότανον ἢ ἐβοτάνισε τὴν μήτραν της, διὰ νὰ μὴ κάμῃ παιδί». Ἡ τοιαύτη γυνὴ ὑφίστατο τοῦ φονέως τὸ ἐπιτίμιον.

[3] Μανασσῆ, Τὰ κατ᾽ Ἀρίστανδρον καὶ Καλλιθέαν 8. 3 (τόμ. 2. 573, Hercher).

[4] Σωρανοῦ, Περὶ γυναικείων 232. 16 (Rose).

[5] Χρυσόστομος, Migne, P.G. 57.357, Κλήμεντος, Παιδαγωγὸς 2. κεφ. 10 (σ. 215 Stählin). Περὶ κωλυτικῶν τῆς γεννήσεως τεχνασμάτων ὁμιλεῖ ὁ Ἀχμὲτ ἐν τῷ Ὀνειροκριτικῷ του κεφ. 140 καὶ 141 (σελ. 92 καὶ 93, Drexl).

[6] Ὅρα Ράλλη-Ποτλῆ, Σύνταγμα 3. 63. 64, 6. 199. Σημείωσον ὅτι ὁ σύζυγος εἶχε τὸ δικαίωμα νὰ διαζευχθῇ τὴν ἑκουσίως ἀποβάλλουσαν.

[7] Ράλλη-Ποτλῆ, Σύνταγμα 2. 519.

[8] Μάλχου ῥήτορος, Ἐκλογαὶ σ. 273. 7 (Βόνν).

[9] Σωρανοῦ, Ἔνθ᾽ ἀν. 174.23.

[10] Ἡ ἔκτρωσις ἐκαλεῖτο ἀποβολή, ὡς καὶ σήμερον. Ἐν τῷ ἐπ᾽ ὀνόματι τοῦ Ζωναρᾶ φερομένῳ λεξικῷ ἀναγινώσκομεν· ἔκτρωμα· ἀποβολὴ γυναικός.

[11] Πανδέκται 48.8.8 πβ. καὶ 47.11.4.

πτομένη [1], κατὰ δὲ τὴν 31ην Νεαρὰν Λέοντος τοῦ Σοφοῦ ὁ ἀνὴρ ἐπετρέπετο νὰ χωρίζῃ τὴν σύζυγον «ὅταν δι' ἀπέχθειαν τὴν πρὸς αὐτὸν ἀμβλώσκουσα φωραθῇ [2]». Ἀφ' ἑτέρου ὁ πρὸς ἔκτρωσιν δώσας φάρμακον, ἐὰν μὲν ἦτο τῶν ἀσήμων, ἐξωρίζετο εἰς μεταλλεῖα, ἐὰν δι' ἐντιμότερος, περιωρίζετο εἰς νῆσον, ἀποβάλλων συγχρόνως καὶ τὸ ἥμισυ τῆς περιουσίας του. Ἂν ὅμως ἡ λαβοῦσα τὸ φάρμακον ἀπέθνησκε, τότε ἐτιμωρεῖτο οὗτος διὰ τῆς ἐσχάτης τῶν ποινῶν [3].

Καὶ ἡ ἐκκλησία δὲ θεωροῦσα φονέα τὴν λαμβάνουσαν φάρμακα πρὸς ἔκτρωσιν, ἐπέβαλλεν εἰς αὐτὴν τὸ τοῦ φονέως ἐπιτίμιον, παλαιότερον μὲν κωλύουσα αὐτὴν διὰ βίου τῆς θείας κοινωνίας, βραδύτερον δὲ ἐπιεικέστερον περιορίσασα εἰς δεκαετῆ τὸν χρόνον τοῦ ἀφορισμοῦ [4], ὃν καὶ ἐκκλησιαστικοὶ ἄνδρες, ὡς λ. χ. Ἰωάννης ὁ Νηστευτής, εἰς πενταετίαν ἢ τριετίαν περιώρισαν [5]. Εἰς τὰς αὐτὰς δὲ ἐννοεῖται ποινὰς ὑπέκειντο καὶ οἱ τὰ ἀμβλωθρίδια παρέχοντες φάρμακα [6].

Εἶπον ἀνωτέρω ὅτι λίαν ἐπιθυμητὴ ἐθεωρεῖτο ἡ γέννησις τέκνου, ἰδίᾳ ὅμως ἄρρενος, ἀφ' οὗ αὐτὸ θὰ συνέχιζε τὸ ὄνομα τῆς οἰκογενείας, ἤ, ἂν ἦτο βασιλόπαις, καὶ τῆς βασιλείας κληρονόμος θὰ ἐγίνετο.

Γυναῖκες τοῦ λαοῦ, ἀλλὰ καὶ βασίλισσαι, ἔχαιρον λίαν ὅταν ἤκουον παρ' ὁσίων ἀνδρῶν ὅτι ἔμελλον νὰ γεννήσωσιν ἄρρεν [7], τὸ ὁποῖον ὡς κατ' ἐξοχὴν π α ι δ ί ο ν ἐχαρακτηρίζετο [8].

Ἡ γέννησις τότε ἄρρενος οὐ μόνον τοὺς γονεῖς ἐπλήρου χαρᾶς —χαρακτηριστικὸν τὸ τοῦ Ψελλοῦ« ἄρρεν τὸ ἀρτίτοκον βρεφύλλιον, ἄρ-

---

[1] Πρόχειρος Νόμος 39. 71, Πρόχειρον auctum 39. 182 (Zach. v. Lingenthal JRG. 6. 360), Βασιλικὰ βιβλ. 60. 22 δ.

[2] Βλ. Migne, P. G. 107. 496.

[3] Πανδέκται 48. 19. 38. 5 καὶ Φ ω τ ί ο υ, Νομοκ. τίτλ. ΙΓ' κεφ. Γ'. (Ρ ά λ λ η - Π ο τ λ ῆ, Σύνταγμα 1. 312, 6. 199-200, Ἰ ω ά ν ν ο υ Σ χ ο λ α σ τ ι κ ο ῦ, Συναγωγὴ κανόνων ἐκκλησιαστικῶν σ. 124 Benesevic').

[4] Β α σ ι λ ε ί ο υ τ ο ῦ Μ ε γ ά λ ο υ, Πρὸς Ἀμφιλόχιον ἐπιστολὴ κανονική. Βλέπε καὶ τὸν ΚΑ' κανόνα τῆς ἐν Ἀγκύρᾳ Συνόδου (Ρ ά λ λ η - Π ο τ λ ῆ, Σύνταγμα 3.63.64, 4.96. 99).

[5] Ἰ ω ά ν ν ο υ τ ο ῦ Ν η σ τ ε υ τ ο ῦ, Κανονικὸν (Ράλλη-Ποτλῆ, Σύνταγμα 4.443). Ἔπιθι καὶ Β α λ σ α μ ῶ ν α εἰς τὸν ΚΕ' κανόνα τοῦ Μ. Βασιλείου (Ράλλη-Ποτλῆ, Σύνταγμα 4.158).

[6] Βλ. Ρ ά λ λ η - Π ο τ λ ῆ, Σύνταγμα 2. 518. 519, 4. 114.

[7] Μ ά ρ κ ο υ Δ ι α κ ό ν ο υ, Βίος τοῦ ἁγίου Πορφυρίου κεφ. 36. 42. 43 (σελ. 31. 22, 36. 12, 43.2 ἔκδ. Grégoire-Kugener).

[8] Ὁ Χ ρ υ σ ό σ τ ο μ ο ς (Migne, P.G. 61.204) εἶπε· «κόραις καὶ παιδίοις γέγονας καταγέλαστος». Καὶ νῦν πολλαχοῦ παιδιὰ λέγονται μόνον τὰ ἄρρενα τέκνα.

ρεν ὦ γῆ καὶ ἥλιε!» [1]— ἀλλά, προκειμένου περὶ βασιλόπαιδος, καὶ τοὺς ὑπηκόους, οἵτινες ἐπὶ τῇ ἀγγελίᾳ τῆς γεννήσεως συνέχαιρον ἀλλήλους καὶ ἐπεκρότουν [2]. Συνέβαινε δῆλα δὴ κατὰ τοὺς Βυζαντινοὺς χρόνους ὅ,τι καὶ σήμερον, ὁπότε τὴν γέννησιν ἄρρενος ἐπακολουθοῦσι παντοειδεῖς ἐκδηλώσεις χαρᾶς τῶν γονέων καὶ συγγενῶν, οἵτινες καὶ πυροβολοῦσιν ἐπὶ τῷ εὐτυχεῖ γεγονότι [3].

Κατ' ἀντίστροφον λόγον ἡ γέννησις θήλεος οὔτε εἰς τοὺς γονεῖς οὔτε εἰς τοὺς συγγενεῖς ἦτο εὐχάριστος [4], προκειμένου ὅμως μία γυνὴ νὰ στερηθῇ κληρονόμων, προετίμα, φυσικά, καὶ θήλεος τὴν ἀπόκτησιν [5].

Ἀφ' οὗ δ' ἡ γέννησις ἄρρενος ἦτο τόσον ποθητή, κατεβάλλετο προσπάθεια πρὸς ἀρρενογονίαν κατὰ βούλησιν, ἥτις ἐπιστεύετο ὅτι ἐπετυγχάνετο, ἂν ἡ συνουσία ἐγίνετο πρὸς δεξιὰν πλευράν, ἀφ' οὗ καὶ ἐκ τοῦ δεξιοῦ ὄρχεως ἐξήρχετο ἡ ἄρρην γονή. Τὴν γνώμην ταύτην ἀπηχεῖ τὸ ὀνειροκριτικὸν τοῦ Ἀχμέτ, ἐν ᾧ ἀναγινώσκομεν· «ἐάν τις ἴδῃ ὅτι ἀπεβάλετο τὸν ἀριστερὸν ὄρχιν, θῆλυ οὐ μὴ τέξει, διότι ἐκεῖθεν ἔσται ἡ θήλεια γονή. Ἐάν τις ἴδῃ ὅτι τὸν δεξιὸν τῶν ὄρχεων ἀπεβάλετο, οὐκ ἀρρενογονήσει» [6].

---

[1] Μ ι χ α ὴ λ Ψ ε λ λ ο ῦ, Τῷ ἐπὶ τῶν κρίσεων (Κ. Σάθα, Μεσ. Βιβλ.5. 409).

[2] Μ ά ρ κ ο υ Δ ι α κ ό ν ο υ, Ἔνθ' ἀν. κεφ. 44 σ. 37. 6, Ἄ ν ν η ς Κ ο μ ν η ν ῆ ς, Ἀλεξιὰς 1. 297. 19, Ν ι κ ή τ α Χ ω ν ι ά τ ο υ, Χρονικὴ Διήγησις 220. Βλ. καὶ Ν. Π ο λ ί τ ο υ, Τὰ κατὰ τὴν γέννησιν, Λαογραφικὰ σύμμεικτα 3.210.

[3]. Ἐν Μάνῃ νῦν πυροβολοῦσιν ἐπὶ τῇ γεννήσει ἄρρενος, Γ. Μ α ν ο λ ά κ ο υ, Τὰ ἔθιμα κατὰ τὴν γέννησιν καὶ τὴν βάπτισιν ἐν Μάνῃ (Λαογραφίας 5.401). Καὶ ἐν Καρπάθῳ δὲ καὶ Ἰκάρῳ ἡ γέννησις ἄρρενος, καὶ μάλιστα πρωτοτόκου, ἀγγέλλεται διὰ πυροβολισμῶν. Ἐν Λέρῳ (Ο ἰ κ ο ν ο μ ο π ο ύ λ ο υ, Λεριακὰ 84) ὅταν γεννηθῇ ἄρρεν, ρίπτονται τρεῖς πυροβολισμοί, εἷς δ' ἂν εἶναι θῆλυ. Ἀρχικῶς οἱ πυροβολισμοὶ ἐρρίπτοντο πρὸς ἀπομάκρυνσιν τῶν πονηρῶν πνευμάτων. Κατὰ τὸν Θεσσαλονίκης Συμεὼν (Migne, P. G. 155. 217) «ἐμφιλοχωροῦσι τὰ δαιμόνια ταῖς τῶν ἀβαπτίστων ψυχαῖς ἀποπλανᾶν καὶ μιαίνειν βουλόμενα». Ὅρα καὶ E. S a m t e r, Geburt, Hochzeit und Tod σ. 39.46.

[4] Δεύτερος αὖθις τόκος καὶ πάλιν τὸ τεχθὲν θῆλυ καὶ οὐ πάνυ τοῦτο πρὸς ἡδονὴν οὔτε τοῖς γονεῦσιν οὔτε τῷ λοιπῷ γένει, Μ ι χ α ὴ λ Ψ ε λ λ ο ῦ, Ἐγκώμιον εἰς τὴν μητέρα αὐτοῦ (Κ. Σάθα, Μεσ. Βιβλ. 5.10). Καὶ εἰς τὸ Κρητικὸν δρᾶμα Γύπαριν (πρᾶξ. Δ'. 106 στίχ.) γράφει ὁ ποιητής.

> Τὴν παίδα δίδουν τὰ παιδιὰ γι' αὔτως παιδιὰ τὰ λέσι
> περιτοπλειὰς τὰ θηλυκά . . . .

Κατὰ πληροφορίας τοῦ συλλογέως Κ ω ν σ τ α ν τ ι ν ί δ ο υ, ἐν Ἀλμαλὶ Μαλγάρων Θρᾴκης πολλοὶ μαστιγώνουσι πολλάκις τὰς ἑαυτῶν γυναῖκας, διότι γεννῶσι θήλεα.

[5] Ἀλλ' ὥσπερ αἱ ἄτοκοι καὶ τοῦ τυχόντος τόκου ἱμείρουσιν, Μ ι χ α ὴ λ Ψ ε λ λ ο ῦ, Ἔνθ' ἀν. 5. 11.

[6] Ἀ χ μ έ τ, Ὀνειροκριτικὸν κεφ. 99 (σελ. 59. 7).

Ἦτο δ' ἡ πρόληψις αὕτη, ἥτις καὶ νῦν παρὰ τῷ ἡμετέρῳ λαῷ ἐπικρατεῖ [1], πολὺ παλαιοτέρα τοῦ Θ'. αἰῶνος. Κατὰ τὸν Διογένη Λαέρτιον (2 κεφ. 3) «ὁ Ἀναξαγόρας ἔλεγε ζῷα γενέσθαι ἐξ ὑγροῦ καὶ θερμοῦ καὶ γεώδους, ὕστερον δὲ ἐξ ἀλλήλων καὶ ἄρρενα μὲν ἀπὸ δεξιῶν, θήλεα δὲ ἀπὸ τῶν ἀριστερῶν».

Κατὰ τὸν Β'. μ. Χ. αἰῶνα ὁ Ἀρτεμίδωρος ἐν τῷ ὀνειροκριτικῷ του ἐπανειλημμένως τὴν ἀναφέρει [2], εἶπε δὲ καὶ ὁ Σωρανὸς (210. 21) «Ἱπποκράτης ᾤετο ἐν μὲν τοῖς δεξιοῖς μέρεσι τῆς ὑστέρας συλληφθέντος τοῦ σπέρματος ἄρρεν ἀποτελεῖσθαι, ἐν δὲ τοῖς εὐωνύμοις θῆλυ», φέρεται δὲ καὶ ἐν τοῖς γεωπονικοῖς (17. 6. 2) προκειμένου περὶ βοός· «εἰ δὲ καὶ βουληθείης ἄρρεν τεχθῆναι, τῷ καιρῷ τῆς ὀχείας τὸν ἀριστερὸν ὄρχιν ἀπόδησον, εἰ δὲ θῆλυ, τὸν δεξιόν».

Οἱ ἐρευνηταὶ ἠθέλησαν νὰ διίδωσιν ἐνταῦθα καὶ Ἰουδαϊκὴν καὶ Αἰγυπτιακὴν ἐπίδρασιν καὶ ἑπομένως παλαιὰν κοινὴν πολλῶν λαῶν πρόληψιν [3].

Δὲν θὰ ἦτο δ' ἴσως περιττὸν νὰ σημειωθῇ ἐνταῦθα καὶ τὸ ἑξῆς χωρίον τοῦ Θεσσαλονίκης Εὐσταθίου (1205. 42) «Ἵππος ἐξανεμουμένη ἐν τῷ συνδυάζεσθαι, καὶ μάλιστα πρὸς βορρᾶν, τίκτει καλά, ὡς καὶ ἀλλαχοῦ εἴρηται. Τοῦτο δὲ καὶ ἀνθρώπους ποιεῖν ἠκούσαμεν περιεργότερον, μάλιστα δὲ ἀλογώτερον καὶ τοιούτοις ἑαυτοὺς εἰς τὸ πᾶν ἐπιτρέποντας ἔργοις ἀνεμωλίοις, ὡς εἰπεῖν». (Βλ. καὶ Γεωπον. 17.6.3.)

